1) Βλ. τοῦ ῥηθέντος λόγου § 8, 15, 17, 38, 56, 59, 143 καὶ μάλιστα § 25, ἔνθα ἀναγινώσκονται τάδε· «Οὐ γὰρ ἐξήρκεσε τὸ σῶμα τὸ ἑαυτοῦ καὶ τὰ χρήματα μόνον ὑπεκθέσθαι, ἀλλὰ καὶ τὰ ἱερὰ τὰ πατρῷα, ἃ τοῖς ἡμετέροις νομίμοις καὶ πατρῴοις ἔθεσιν οἱ πρόγονοι παρέδοσαν αὐτῷ ἱδρυσάμενοι, ταῦτα μετεπέμψατο εἰς Μέγαρα καὶ ἐξήγαγεν ἐκ τῆς χώρας, οὐδὲ τὴν ἐπωνυμίαν τῶν πατρῴων ἱερῶν φοβηθεὶς ὅτι ἐκ τῆς πατρίδος αὐτὰ κινήσας, συνεκφεύγειν αὐτῷ ἐκλείποντα τοὺς νεὼς καὶ τὴν χώραν ἣν κατεῖχον, ᾐξίωσε, καὶ ἱδρύσασθαι ἐπὶ ξένης καὶ ἀλλοτρίας, καὶ εἶναι ὀθνεῖα τῇ χώρᾳ καὶ τοῖς νομίμοις τοῖς κατὰ τὴν Μεγαρέων πόλιν εἰθισμένοις. Καὶ οἱ μὲν πατέρες ἡμῶν τὴν Ἀθηνᾶν ὡς τὴν χώραν εἰληχυῖαν ὁμώνυμον αὐτῇ τὴν πατρίδα προσηγόρευον Ἀθήνας, ἵν' οἱ τιμῶντες τὴν θεὸν τὴν ὁμώνυμον αὐτῇ πόλιν μὴ ἐγκαταλείπωσι. Λεωκράτης δὲ οὔτε νομίμων οὔτε πατρῴων οὔτε ἱερῶν φροντίσας τὸ καθ' ἑαυτὸν ἐξαγώγιμον ὑμῖν καὶ τὴν παρὰ τῶν θεῶν βοήθειαν ἐποίησε».

# Η ΚΑΤΑ ΠΛΑΤΩΝΑ ΤΡΟΦΗ ΚΑΙ ΠΑΙΔΕΙΑ.

(Οὐκ ἔστι περὶ ὅτου θειοτέρου ἂν ἄνθρωπος βουλεύσαιτο, ἢ περὶ παιδείας καὶ ἑαυτοῦ καὶ τῶν ἑαυτοῦ οἰκείων.)
Πλ. Θεάγ. 122 b.

Πᾶν ζῶον, οἷον προσήκει τελειωθὲν εἶναι, τοιοῦτον οὐδέποτε φύεται. Καὶ τοῦτο μὲν κοινὸν ἔχει καὶ ὁ ἄνθρωπος τοῖς ἄλλοις ζώοις· ἀλλὰ τούτων ἕκαστον αὐτὴ ἡ φύσις σχεδὸν ἀρκεῖ ἐν χρόνῳ τεταγμένῳ, τῷ βίῳ αὐτοῦ, τελειῶσαι εἰς τὴν οἰκείαν ἀρετήν, τὸ δὲ τοῦ ἀνθρώπου ἀλλοῖον πέφυκεν· οὔτε γὰρ ἔστι δυνατόν, ὡς ἔοικεν, ἕνα ἕκαστον τέλειον γενέσθαι ἔν γε τῷ παρόντι βίῳ, ἀλλὰ τοῦτο εἴπερ δέδοται, τῷ ὅλῳ ἀνθρωπίνῳ γένει ἀποδέδοται, εἰ καὶ μὴ εὐθυποροῦν ἀεὶ φαίνεται πρὸς τὸ τέλος, οὔτε, καὶ ὅσον προσήκει ἑκάστῳ μεταλαβεῖν τελειότητος, ἡ φύσις ἄν ποτε μόνη παρασχεῖν δύναιτο, ἀλλὰ δεῖ πάντως τῆς τῶν πέλας συνεργείας· Ἡ δὲ συνέργεια αὕτη ἐστὶν ἡ καλουμένη τροφὴ καὶ παιδεία. Ταύτης ἄρα ἔργον ἐστὶ τὸ προσλεῖπον τῆς φύσεως ἀναπληροῦν [1]). Ἀλλ' ἐὰν μὴ γιγνώσκῃ ὁ παιδεύων εἴ τι καὶ ὅ τι προσλείπει τῷ τροφίμῳ καὶ ὅπως ἀναπληρωτέον ἐστίν, οὐκ ἄν ποτε γνώμῃ παιδεύοι, ἀλλ' εἰκῇ. Τὸ δὲ προσλεῖπον τῆς φύσεως γιγνώσκειν ἐστὶ τοῦτο μὲν, τὸ τέλος τοῦ ἀνθρώπου γιγνώσκειν, οἷον προσήκει αὐτὸν εἶναι, τοῦτο δέ, οἷός ἐστιν ἐν τῇ ἀτελείᾳ αὐτοῦ. Τρίτον δέ, ἐγνωσμένων τούτων, τὴν μέθοδον χρὴ εἰδέναι, ᾗ ἄν τις ἄριστα καὶ ἀσφαλέστατα ἀναπληροῖ τὸ προσλεῖπον τοῦτο. Τούτων δὴ πέρι πειράσομαι διελθεῖν, ᾗ Πλάτων ὑφηγεῖται.

Πάντες ἄνθρωποι, φησὶν Ἀριστοτέλης [2]), τοῦ εἰδέναι ὀρέγονται φύσει. Ἴδοι δ' ἄν τις τοῦτο ἐναργέστατα ἐν τοῖς παιδίοις, ὅσην παρέχει ὄχλησιν τοῖς γονεῦσι τὸ καὶ τὸ ἀνερωτῶντα. Εἰδέναι

1) Ἀριστ. Πολιτ. Η, 17.
2) Μεταφ. Α, 1.

δ' ἐστὶ τὴν ἀλήθειαν τῶν πραγμάτων ἐξευρηκέναι. Ἔμφυτος ἄρα ἐστὶν ἡ τῆς ἀληθείας ζήτησις ἀνθρώπῳ [1]), τῆς δὲ ἀπουσίας αὐτῆς ἀπορία καὶ θαυμασμὸς τεκμήρια, ὑφ' ὧν πᾶς διὰ παντὸς τοῦ βίου ἔχεται, ὅστις μὴ ἐκ παίδων κακῶς ἦκται. Τί οὖν ἐμποδίζει ἡμῖν τὴν ἀλήθειαν τῶν πραγμάτων λαβεῖν; Ἡ ἀέναος αὐτῶν κίνησις καὶ ἀλλοίωσις [2]). Πάντα γὰρ ῥεῖ, καθ' Ἡράκλειτον.

Ἀλλ' ὁ ἄνθρωπος, ἅτε θείας μετασχὼν μοίρας [3]), οὐδ' ὡς ἀπογιγνώσκει μὴ οὐ δύνασθαι τὴν ἀλήθειαν λαβεῖν, οὐδ' ἀποκάμνει ζητῶν, ἀπομαντευόμενος εἶναί τέ τι ὄντως καὶ ἑαυτῷ ληπτόν. Καὶ οὐ μάτην πονεῖ. Καταλαμβάνει γὰρ δὴ τέλος τὴν ὄντως καὶ ἀληθινῶς οὐσίαν, τὴν τῶν ἰδεῶν, ἀχρώματον καὶ ἀσχημάτιστον καὶ ἀναφῆ οὖσαν, μόνῳ νῷ θεατήν [4]). Ἣ δὲ προάγεται ὁ νοῦς τοῦ ἀνθρώπου ἀπὸ τῶν ἀειῤῥόων αἰσθητῶν ἐπὶ τὰς μονίμους ἰδέας ἐδίδαξε Πλάτων σαφῶς μάλιστα ἐπὶ τοῦ καλοῦ ἐν τῷ Συμποσίῳ [5]). Ταύτῃ δὲ προάγεται ὁ νοῦς καὶ ἐπὶ τὰς ἄλλας ἰδέας τῆς τε δικαιοσύνης καὶ σωφροσύνης καὶ ὅσαι ἀδελφαὶ αὐτῶν, ὧν τὸ ἐνδιαίτημα οὐκ ἐν τῷ αἰσθητῷ τόπῳ, ἀλλ' ἐν τῷ νοητῷ· ἀναγκαῖον μέντοι τὸν νοῦν ἀπὸ τῶν τῇδε ἄρξασθαι τῆς ζητήσεως καὶ γνώσεως ἐκείνων.

Ἐπ' ἄκρου δὲ τῶν ἄλλων ἰδεῶν ἐστιν ἡ τοῦ ἀγαθοῦ ἰδέα, μόγις θεατὴ τῷ ἀνθρωπίνῳ νῷ· ὀφθεῖσα δὲ προσεπιγιγνώσκεται, ὡς ἄρα πᾶσι πάντων αὕτη ὀρθῶν τε καὶ καλῶν αἰτία ἐστίν, ἔν τε ὁρατῷ φῶς καὶ τὸν τούτου κύριον τεκοῦσα, ἔν τε νοητῷ αὐτὴ κυρία, ἀλήθειαν καὶ νοῦν παρασχομένη [6]). Ὥσπερ οὖν τοῖς ὀφθαλμοῖς ἔνεστι μὲν ὄψις, ἂν δὲ μή τις αὐτοὺς ἐπ' ἐκεῖνα τρέπῃ, ὧν ἂν τὰς χρόας τὸ ἡμερινὸν φῶς ἐπέχῃ, ἀλλ' ὧν νυκτερινὰ φέγγη, ἀμβλυώττουσί τε καὶ ἐγγὺς φαίνονται τυφλῶν, ὥσπερ οὐκ ἐνούσης καθαρᾶς ὄψεως, ὅταν δὲ, ὧν ὁ ἥλιος καταλάμπει, σαφῶς

1) Πλ. Φίληβ. 58 d, e.
2) Πλ. Θεαίτ. 152 d. Τίμ. 49 c—50, Συμπ. 207 d—208b. (κατὰ τὴν τοῦ Στεφάνου ἔκδοσιν).
3) Πλ. Πρωτ. 322 a.
4) Πλ. Φαῖδρ. 247 c.
5) Πλ. Συμπ. 210 a—212 a.
6) Πλ. Πολ. Ζ', 517 b.

ὁρῶσι καὶ τοῖς αὐτοῖς τούτοις ὄμμασιν ὄψις ἐνοῦσα φαίνεται· οὕτω καὶ τὸ τῆς ψυχῆς· ὅταν μέν, οὗ καταλάμπει ἀλήθειά τε καὶ τὸ ὄν, εἰς τοῦτο ἀπερείσηται, ἐνόησέ τε καὶ ἔγνω αὐτὸ καὶ νοῦν ἔχειν φαίνεται, ὅταν δὲ εἰς τὸ τῷ σκότῳ κεκραμένον, τὸ γιγνόμενόν τε καὶ ἀπολλύμενον, δοξάζει τε καὶ ἀμβλυώττει ἄνω καὶ κάτω τὰς δόξας μεταβάλλον, καὶ ἔοικεν αὖ νοῦν οὐκ ἔχοντι. Καὶ ὥσπερ ἐν τῷ ὁρατῷ ἥλιός ἐστιν ὁ τὸ φῶς παρέχων τοῖς τε ὁρωμένοις, ὥστε ὁρᾶσθαι, καὶ τῇ ὄψει τὴν οἰκείαν δύναμιν ἀποδιδοὺς τά τε ἄλλα καὶ ἑαυτὸν ὁρᾶν, οὕτω καὶ ἐν τῷ νοητῷ τὸ ἀγαθόν ἐστι τὸ τὴν ἀλήθειαν παρέχον τοῖς γιγνωσκομένοις καὶ τῷ γιγνώσκοντι τὴν δύναμιν ἀποδιδὸν τά τε ἄλλα ὄντα γιγνώσκειν καὶ ἑαυτό. Ἔτι δὲ ὁ ἥλιος τοῖς ὁρωμένοις οὐ μόνον τὴν τοῦ ὁρᾶσθαι δύναμιν παρέχει, ἀλλὰ καὶ τὴν γένεσιν καὶ αὔξην καὶ τροφήν, οὐ γένεσις αὐτὸς ὤν· καὶ τοῖς γιγνωσκομένοις τοίνυν οὐ μόνον τὸ γιγνώσκεσθαι πάρεστιν ὑπὸ τοῦ ἀγαθοῦ, ἀλλὰ καὶ τὸ εἶναί τε καὶ ἡ οὐσία ὑπ' ἐκείνου αὐτοῖς πρόσεστιν, οὐκ οὐσίας ὄντος τοῦ ἀγαθοῦ, ἀλλ' ἔτι ἐπέκεινα τῆς οὐσίας πρεσβείᾳ καὶ δυνάμει ὑπερέχοντος [1]).

Οὕτω μὲν οὖν διαφερόντως κάλλει καὶ δυνάμει κεκόσμηται Πλάτωνι τὸ θαυμάσιον τοῦτο ἀγαθόν. Ἀπορεῖται δέ, τίνος χάριν οὕτως ὑπερῆρε Πλάτων τὴν τοῦ ἀγαθοῦ ἰδέαν ὑπὲρ τὰς ἄλλας· καὶ αὖ ἑτέρα μείζων ἀπορία πάρεστί μοι, διατί Πλάτων ἐν τῇ Πολιτείᾳ παισὶ μὲν οὖσι τοῖς φύλαξι σπουδάζει σφόδρα ἀληθεῖς δόξας περὶ θεοῦ ἐμποιεῖν, παιδείᾳ δὲ καὶ ἡλικίᾳ τελειωθέντας, ὡς αὐτάρκεις ἤδη γενομένους, οὐδὲν ἔτι οἴεται δεῖν θεοῦ φροντίζειν,—οὐδαμοῦ γοῦν οὐδαμῶς ἔτι χρῆται αὐτῷ — ὥστε δόξαν παρίστασθαί τινι, ὡς καὶ Πλάτωνος τοῖς αὐτοῖς ἐνεχομένου, ὧν αἰτιᾶται Ἀναξαγόραν [2]), ὅπου μὲν αὐτῷ ἐπάναγκες φαίνεται τῇ τοῦ θεοῦ ἰδέᾳ χρῆσθαι, χρωμένου, ὅπου δὲ μή, χαίρειν ἐῶντος; Τί οὖν κωλύει δέχεσθαι μετὰ πολλῶν καὶ σοφῶν ἀνδρῶν [3]) Πλά-

1) Πλ. Πολ. Ϛ', 507 b—509 c.

2) Πλ. Φαίδ. 97 b—99.

3) Πρὸς τοῖς ὑπὸ Σταλδωμίου καταλεχθεῖσι (Stallbaum Prolegomena ad Plat., Tim. Cap. VI) προστίθημι Schwegler (Geschichte d.

των μηδὲν ἄλλο σημαίνειν τῇ τοῦ ἀγαθοῦ ἰδέᾳ, ἢ αὐτὸν τὸν Θεόν; ἐξ οὗ συμβαίνει ἀμφοτέρας τὰς ἀπορίας διαλύεσθαι. Τάχα δ' ἂν καὶ τοῦτό πῃ συμβάλοιτο εἰς τὴν ἐκδοχὴν ταύτην, ὅτι τὸν ἥλιον ὀνομάζει ἔκγονον τοῦ ἀγαθοῦ [1]) καὶ αὐτὸν θεόν[2]), οὐκ εἰκῇ, δῆλον ὅτι· οὐκοῦν εἰκός, εἰ ὁ ἔκγονος θεός ἐστι, πολλῷ μᾶλλον τὸν ποιητὴν αὐτοῦ θεὸν εἶναι.

Εἰ τοίνυν τοῦθ' οὕτως ἔχει καὶ ὄντως ἄνθρωπος Θεὸν αὐτὸν γνῶναι δύναται, ἀνάγκη θείαν εἶναι καὶ τὴν ἐνοῦσαν αὐτῷ δύναμιν ταύτην[3]). Πῶς οὖν ἔχει τὰ κατὰ τὴν δύναμιν ταύτην καὶ διατὶ πᾶς μὲν διώκει τὸ ἀγαθὸν καὶ τούτου ἕνεκεν πάντα πράττει [4]), οὐ παντὶ δέ, ἢ οὐκ ἐν πάσῃ ἡλικίᾳ καὶ πάσῃ ἕξει δυνατὸν ἀπολαύειν τῆς θείας θέας, τί ἐστι τὸ ὁρμῶν ἐπὶ τὸ ἀγαθὸν καὶ τί τὸ ἐπιπροσθοῦν τῇ ὄψει, τούτων πέρι ἐξηγεῖται ἡμῖν Πλάτων ὧδέ πως·

Δύο εἴδη ἐστὶ τῶν ὄντων, τὸ μὲν αἰσθητόν, ὅ τις κἂν ἅψαιτο, κἂν ἴδοι, κἂν ταῖς ἄλλαις αἰσθήσεσιν αἴσθοιτο, τὸ δὲ νοητόν, ὃ οὐκ ἔστιν ὅτῳ ποτ' ἂν ἄλλῳ ἐπιλάβοιτό τις, ἢ τῷ τῆς διανοίας λογισμῷ· καὶ τὰ μὲν νοητὰ καὶ ἀειδῆ, ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχοντα, εἰκὸς εἶναι ἀσύνθετα, τὰ δὲ αἰσθητά, ἄλλοτε ἄλλως καὶ οὐδέποτε κατὰ ταὐτὰ ἔχοντα, σύνθετα· καὶ τοῖς μὲν συνθέτοις προσήκει διαιρεθῆναι ταύτῃ, ᾗπερ συνετέθη, τοῖς δὲ ἀσυνθέτοις εἰςαεὶ παραμένειν ἀναλλοιώτοις [5]). Τούτων δὴ ὑποκειμένων, τὸ ἡμέτερον αὐτῶν ἐπισκεψώμεθα καὶ εὑρήσομεν τὸ

---

Philos. ἐν τοῖς περὶ Πλάτωνος) καὶ Herbart (de Platonici systematis fundamento commentatio).

1) Πλ. Πολ. Ϛ', 506 e

2) Πλ. Πολ. Ϛ', 508 a. Ἐπιθ. καὶ Τίμ. 29 e.

3) Ὀρθῶς καὶ κατὰ τὴν διάνοιαν Πλάτωνος ἐξήνεγκε τὸ ἐνταῦθα συμβαῖνον ὁ ποιητὴς Γοίτθης ἐν τοῖςδε·

Wär' nicht das Auge sonnenhaft,
Die Sonne könnt' es nie erblicken.
Läg' nicht in uns des Gottes eigene Kraft,
Wie könnt' uns Göttliches entzücken ?

4) Πλ. Πολ. Ϛ', 505, c.

5) Πλ. Φαίδ. 78 c.—79 a.

μὲν σῶμα ὄν, τὸ δὲ ψυχήν· καὶ τὸ μὲν σῶμά ἐστιν αἰσθητὸν καὶ τὴν τοῦ αἰσθητοῦ μοῖραν εἰληχός, ἀεὶ ῥέον καὶ ἀλλοιούμενον, ἡ δὲ ψυχὴ ἀειδές· ἔτι δὲ τῷ μὲν σώματι δουλεύειν προσήκει, τῇ δὲ ψυχῇ ἄρχειν [1]), καὶ ὅταν μὲν ἡ ψυχὴ τῷ σώματι προσχρῆται εἰς τὸ σκοπεῖν τι ταῖς αἰσθήσεσιν αὐτοῦ, ἢ ταῖς ἐπιθυμίαις αὐτοῦ χαρίζηται, τότε ἕλκεται ὑπ' αὐτοῦ εἰς τὰ συγγενῆ αὐτοῦ, τὰ οὐδέποτε κατὰ ταὐτὰ ἔχοντα, καὶ αὐτὴ ταράττεται καὶ ἰλιγγιᾷ, ὥσπερ μεθύουσα, ἅτε τοιούτων ἐφαπτομένη, ὅταν δὲ καθ' ἑαυτὴν γίγνηται, ἐκεῖσε οἴχεται εἰς τὸ καθαρόν τε καὶ ἀεὶ ὂν καὶ ἀθάνατον, καὶ πέπαυται τοῦ πλάνου, καὶ περὶ ἐκεῖνα ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ἔχει, ἅτε τοιούτων ἐφαπτομένη. Ἐκ δὴ τούτων συμβαίνει τῷ μὲν θείῳ καὶ ἀθανάτῳ καὶ νοητῷ καὶ μονοειδεῖ καὶ ἀδιαλύτῳ καὶ ἀεὶ ὡσαύτως κατὰ ταὐτὰ ἔχοντι ἑαυτῷ ὁμοιότατον εἶναι τὴν ψυχήν, τῷ δὲ ἀνθρωπίνῳ καὶ θνητῷ καὶ ἀνοήτῳ καὶ πολυειδεῖ καὶ διαλυτῷ καὶ μηδέποτε κατὰ ταὐτὰ ἔχοντι ἑαυτῷ ὁμοιότατον εἶναι τὸ σῶμα [2]).

Τοιαύτην οὖν φύσιν ἔχουσα ἡ ψυχή, ἀθάνατός ἐστι καὶ αὐτὴ καὶ ἀΐδιος [3]), πρό τε τῆς τοῦ σώματος γενέσεως αὐτὴ οὖσα καί, φθειρομένου τούτου, αὐτὴ παραμένουσα. Ποῦ δὴ ἦν ἡ ψυχὴ πρὶν ἐν τῷδε τῷ ἀνθρωπίνῳ εἴδει γενέσθαι, καὶ ποῖ ἅπεισι, χωριζομένη αὐτοῦ; Παρὰ τῷ ἑαυτῆς συγγενεῖ, τῷ θείῳ, ἦν, καὶ παρ' ἐκείνῳ πάλιν προσήκει μετὰ τὸν χωρισμὸν ἐπανιέναι [4]). Ἐκεῖ μὲν οὖσα πρότερον ἐθεώρει τὰ ὄντα ὄντως καὶ ἔγνω αὐτὰ καὶ ἐτρέφετο ἐπιστήμῃ ἀκηράτῳ καὶ ἡδυπάθει· ἐλθοῦσα δὲ ἐνθάδε καὶ συγκαθειρχθεῖσα τῷ φθαρτῷ σώματι, λήθην ἔσχεν ἐκείνων, ὁρῶσα

---

1) Πλ. Φαίδ. 79 c. Ἀλκιβ. Α', 129—130 c.

2) Πλ. Φαίδ. 79 c—80 b.

3) Πλ. Φαίδ. 80 c—81 a. 105 e. Πολ. Ι', 608 c—611.

4) Πολλάκις εἴωθε Πλάτων, περὶ νοητῶν καὶ ἀΐδίων ποιούμενος τὸν λόγον, οἷον ψυχῆς καὶ ἰδεῶν, προσάπτειν αὐτοῖς τῶν αἰσθητῶν κατηγορίας, ὕλην καὶ τόπον καὶ χρόνον, ἵνα φανταστότερα γίγνηται καὶ διὰ τοῦτο εὐμαθέστερα καὶ τοῖς μὴ τὰ τέλεια τῆς φιλοσοφίας μεμυημένοις. Πῶς δὲ χρὴ ὑπολαμβάνειν τὰ τοιαῦτα, ἱκανὰ πεπραγμάτευται Ἡγέλῳ ἐν τῇ ἱστορίᾳ τῆς φιλοσοφίας, ἐν τοῖς περὶ Πλάτωνος.

δὲ τὰ τῇδε εἴδωλα ὄντα ἐκείνων ἀναμιμνήσκεται, καὶ πᾶσα ἡ λεγομένη μάθησίς ἐστιν ἀνάμνησις [1]).

Τῇ δὲ ἀναμνήσει τῶν ὄντως ὄντων συμπαρομαρτεῖ καὶ ἀνάμνησις τῆς ἐκεῖ μακαριότητος, ὅτε ἐκείνοις συνῆν ἡ ψυχή, καὶ ἐκ τούτων ἀναπτεροῦται καὶ προθυμεῖται ἐκεῖσε ἀπελθεῖν, καὶ τοῦτο τῆς ψυχῆς τὸ πάθος ἐστὶν ὁ πολυθρύλητος Πλατωνικὸς ἔρως [2]).

Ὅτι μὲν οὖν ἡ ψυχὴ τῇ ἀληθεστάτῃ φύσει ἁπλοῦν τί ἐστι καὶ ἀειδὲς καὶ τῷ θείῳ καὶ ἀθανάτῳ συγγενὴς καὶ αὐτὴ ἀθάνατος, δεδήλωται. Τοιαύτην δ' ἂν εὕροι τις, εἰ δύναιτο καθαρὰν οὖσαν λογισμῷ διαθεάσασθαι, ὅπερ ὅμως ἀδύνατόν ἐστιν ἐν τῷδε τῷ βίῳ· λελώβηται γὰρ ὑπὸ τῆς τοῦ σώματος κοινωνίας καὶ ἄλλων κακῶν καὶ φαντάζεται ἡμῖν σύνθετος, οὐκ οὖσα τῇ ἀληθείᾳ [3]). Οἷα δὴ φαντάζεται, συνδεδεμένη τῷ σώματι, ἐχόμενόν ἐστι διελθεῖν.

Ἴσμεν που πάντες ὅτι πολλάκις ἐπιθυμοῦντές τι γενέσθαι ἡμῖν, ἐδωδὴν ἢ πόσιν ἢ ἄλλην τινὰ τῶν διὰ τοῦ σώματος ἡδονῶν, κωλυόμεθα ὑφ' ἡμῶν αὐτῶν, ἐὰν μὴ καλὴ καὶ συμφέρουσα ἡμῖν οὖσα ἡ πλήρωσις τῆς ἐπιθυμίας φαίνηται. Ἀλλὰ μὴν τὸ αὐτὸ τἀναντία ποιεῖν ἢ πάσχειν κατὰ ταὐτὸν καὶ πρὸς ταὐτὸν ἀδύνατον. Δῆλον ἄρα ὅτι τὸ κωλῦον ἐν ἡμῖν ἕτερόν τί ἐστι τοῦ ἐπιθυμοῦντος, καὶ ἀμφότερα ταῦτα δύο· καὶ τὸ μὲν κωλῦον,

---

1) Πλ. Φαίδ. 72 e—76 d. Μέν. 81 c—86 b, Φαῖδρ. 249 c. Φίληβ. 34 b. Νόμ. Ε', 732 b.

2) Πλ. Φαῖδρ. 249 a—250 c, 245 b.

3) Πλ. Πολ. Γ', 611 b—612 a. Ἐπιστροφῆς ἄξιον τὸ χωρίον τοῦτο, ὡς διαλῦον τὴν φαινομένην διαφωνίαν περὶ ψυχῆς τῶν ἐν τῷ Φαίδωνι πρὸς τὰ ἐν τῇ Πολιτείᾳ λεγόμενα. Ἐκεῖ μὲν γὰρ λέγεται ἁπλοῦν ἡ ψυχή, ἐν δὲ τῇ Πολιτείᾳ, ἐν τοῖς πρότερον, σύνθετον. Ἐκ δὲ τοῦ προκειμένου χωρίου συνάγεται ὅτι ἐστὶ μὲν ἁπλῆ καθ' ἑαυτήν, ἐπεὶ δέ πῃ συμπέπλεκται τῷ σώματι, τὸ ἐξ ἀμφοτέρων τούτων σύμφυρμα ἐν μὲν τῇ Πολιτείᾳ παρέστησεν ὡς ἕτερον εἶδος τῆς ψυχῆς, καὶ τοῦτο διπλοῦν, θυμοειδὲς καὶ ἐπιθυμητικόν, ἐν δὲ τῷ Φαίδωνι αὐτὸ τοῦτο ἀνήνεγκεν εἰς τὸ σῶμα· τῇ δ' ἀληθείᾳ οὔτε ἡ ψυχὴ ἄνευ τοῦ σώματος δύναται ἐπιθυμεῖν καὶ θυμοῦσθαι, ἄπεστι γὰρ τὸ αἴτιον, οὔτε τὸ σῶμα καθ' ἑαυτό, νεκρὸν γάρ.

ἅτε λογισμὸν ἔχον τοῦ καλοῦ καὶ συμφέροντος καὶ κατὰ τοῦτον τοτὲ μὲν κωλῦον, τοτὲ δὲ ἐῶν, τὸ λογιστικόν ἐστι τῆς ψυχῆς μόριον, τὸ δὲ τυφλῶς καὶ ἄνευ λογισμοῦ ἐπιθυμοῦν, τὸ περὶ τὸ σῶμα ἀεὶ καὶ τὰς τούτου χρείας τετευτακός, τὸ ἐπιθυμητικόν. Ἔτι δὲ ὁρῶμεν πολλάκις τινὰ ὁρμώμενον μὲν ὑπὸ τοῦ ἐπιθυμητικοῦ ἐπί τι, αἱροῦντος δὲ λόγου μὴ δεῖν τοῦτο πράττειν ἀεὶ ἐπιτιμῶντα ἑαυτῷ καὶ θυμούμενον. Εἰκὸς οὖν εἶναί τι τὸ θυμούμενον ἕτερον τοῦ ἐπιθυμητικοῦ, ἅτε ἀντιτεῖνον ἐκείνῳ. Καὶ μὴν καὶ τοῦ λογιστικοῦ ἕτερον τοῦτό ἐστι· τεκμήριον δέ· τά τε γὰρ θηρία, λογισμοῦ ἄμοιρα ὄντα, ὅμως θυμοῦ μεστά ἐστι, καὶ τὰ παιδία. Ἔστιν ἄρα τὸ θυμοειδὲς τρίτον τι εἶδος τῆς ψυχῆς, εὐγενέστερον μὲν τοῦ ἐπιθυμητικοῦ φύσει, ἅτε ἧττον τῷ σώματι δουλεῦον, ἄλογον δὲ καὶ αὐτό, κατήκοον μέντοι τοῦ λόγου καὶ ἐπίκουρον αὐτῷ, ἐὰν μὴ ὑπὸ κακῆς τροφῆς διαφθαρῇ[1]).

Καὶ τὸ μὲν λογιστικόν ἐστι τοῦ θείου συγγενὲς καὶ αὐτὸ θεῖον καὶ ἀθάνατον καὶ πάνθ' ὅσα ἐν τῷ Φαίδωνι τῆς ψυχῆς κατηγόρηται, τοῦ λογιστικοῦ αὐτῆς νῦν κατηγορητέα, τῷ δὲ θυμοειδεῖ καὶ τῷ ἐπιθυμητικῷ ἀποδοτέα, ὅσα ἐκεῖ τῷ σώματι ἀποδέδοται. Ἐν δὲ τῷ Φαίδρῳ, ὅπου λαμπρᾷ εἰκόνι καὶ τοῦ διθυραμβικοῦ χαρακτῆρος πάνυ πνεούσῃ ἐναργῆ ἐποίησεν ἡμῖν Πλάτων τὰ κατὰ τὴν ψυχήν, παρίσταται αὕτη καὶ πρὸ τῆς εἰς τὸ σῶμα κατοικίσεως τὰ αὐτὰ εἴδη ἔχουσα[2]), ὅπερ μέντοι οὐ χρὴ νομίζειν τῷ μονοειδεῖ καὶ ἁπλῷ τῆς ψυχῆς ὄντως ἐναντιοῦσθαι· καίπερ γὰρ προθέμενος τὸν προτοῦ βίον αὐτῆς παραστῆσαι, φανερὸς ὅμως ἐστὶ πρὸς τὸν τῇδε βλέπων καὶ πλάττων τὴν εἰκόνα αὐτῆς, ἵνα ἔχῃ τὰ ἐνθάδε περὶ αὐτὴν συμβαίνοντα διασαφεῖν.

Οὕτω δὴ τούτων διωρισμένων, ἀναλαβόντες τὰ προαπορηθέντα[3]), παρέχομεν λύσιν αὐτῶν τοιάνδε. Ἡ μὲν δύναμις τοῦ θεᾶσθαι καὶ ἐπιγιγνώσκειν τὰ αἰδία ὄντα ἔνεστι τῇ ψυχῇ διὰ συγγένειαν καὶ τὸ προεγνωκέναι, τὸ δ' ἐπιπροσθοῦν τῇ ὄψει καὶ ἀπά-

1) Πλ. Πολ. 436 a—441 c.
2) Πλ. Φαῖδρ. 246 a, κ.τ.ἑ,
3) Σελ. 418.

γον ἐκείνων ἐστὶ τὸ τῷ σώματι συγκαταπεπλεγμένον τῆς ψυχῆς μέρος, τὸ δὲ ἀντιτεῖνον τῷ σώματι, τὸ ἐκ τῆς τῶν τῇδε αἰσθήσεως ἐπὶ τὴν ἐκείνων γνῶσιν ἐπεῖγον ἡμᾶς, ὁ ἐκ τῆς ἀναμνήσεως ἐπεγειρόμενος ἐν ἡμῖν ἔρως.

Ἐκ δὲ τούτων καὶ τὸ τέλος τοῦ ἀνθρώπου εὔπορόν ἐστιν ἡμῖν νῦν δηλῶσαι κατὰ τὴν γνώμην Πλάτωνος. Ὅτε γὰρ ἡ ψυχὴ φύσει συγγενὴς ἐστι καὶ ὁμοιοτάτη τῷ θείῳ καὶ συνῆν πρότερον αὐτῷ καὶ ἐθεώρει καὶ ἐπέγνω αὐτό, εἶτα δὲ ἐξέπεσεν εἰς ἀλλότριον εἶδος καὶ ἐπελάθετο τῶν ἐκεῖ, οὐ μέντοι παντάπασιν ἐξέστη τῆς ἀρχαίας φύσεως, ἀλλὰ καὶ παραμένει ἔτι ἀμυδρὰ μνήμη ἐκείνων καὶ ἔρως ἀναπτερῶν αὐτήν, τούτων οὕτως ἐχόντων, οὐδὲν ἄλλο ἔξεστιν εἶναι τὸ τέλος τοῦ ἀνθρώπου ἢ τὴν ἀρχαίαν φύσιν καὶ ἕξιν ἀναλαβεῖν, τοῦτο δ' ἐστί, θεῷ ὁμοιωθῆναι καὶ συνεῖναι[1]).

Γενναῖον μὲν οὖν τῇ ἀληθείᾳ καὶ ὑπερήφανον ἀπέφηνεν ἡμῖν Πλάτων τὸ τέλος τοῦ ἀνθρώπου, ὥσπερ εἰκὸς ἦν ἀνδρὶ καὶ ἐν τῷδε τῷ βίῳ, εἴπέρ τις καὶ ἄλλος, πλησιάσαντι καὶ ὁμιλήσαντι τῷ θείῳ καὶ εἰς πεῖραν ἐλθόντι τῆς εὐγενείας τοῦ ἀνθρώπου, ἔστι δ' ὅμως ἀνέφικτον ἔν γε τῷ παρόντι βίῳ[2]). Καὶ ἐν τῷ μέλλοντι δὲ οὐ παντὶ ἐφικτόν· ἦν γὰρ ἂν οὕτω τοῖς πονηροῖς κέρδος, ἐπειδὴ πολλὰ κακουργήσασι μηκέτι βιωτὸν αὐτοῖς εἴη, καταστρέφειν τὸν βίον[3])· ἀλλ' ὅτῳ τὰ τῇδε ἄριστα εἰς δύναμιν παρασκεύασται. Παρασκευὴ δ' ἐστὶ κάθαρσις ψυχῆς, τὸ χωρίζειν ὅ τι μάλιστα ἀπὸ τοῦ σώματος αὐτὴν καὶ ἐθίζειν καθ' ἑαυτὴν πανταχόθεν ἐκ τοῦ σώματος συναγείρεσθαί τε καὶ ἀθροίζεσθαι καὶ οἰκεῖν κατὰ τὸ δυνατὸν μόνην καθ' ἑαυτήν, ἐλκυομένην, ὥσπερ ἐκ δεσμῶν, ἐκ τοῦ σώματος[4]).

Εἰ δέ πού τις ἐκ τῶν εἰρημένων συλλογίζοιτο, ὡς Πλάτων τὰ τῇδε οὐδενὸς ἄξια ἡγοῖτο, ἁμαρτάνει τῆς διανοίας αὐτοῦ. Ἅτε

---

1) Πλ. Θεαίτ. 176 b, Νόμ. Δ', 716 c, d. Πολ. Ι', 613 a.
2) Πλ. Φαίδ. 66 a—e.
3) Πλ. Πολ. Ι', 610 d.
4) Πλ. Φαίδ. 67 d.

γὰρ τῶν ἀϊδίων ἐκείνων ὁμοιώματα ὄντα καὶ μετέχοντα ἐκείνων, εἰκὸς καθ' αὑτὰ τίμια εἶναι, πρὸς ἐκεῖνα μέντοι παραβαλλόμενα εἰκότως σμικροῦ ἄξια φαίνεται, ὥςπερ σελήνη πρὸς ἥλιον. Οὐ μὴν ἀλλὰ καὶ ἀναγκαῖον ἡγεῖται ταῦτά τε καταμανθάνειν, ὡς διακεκόσμηται ὑπὸ τῆς φύσεως, ἵνα, ὑπομνήμασι τούτοις χρώμενος ὁ νοῦς καὶ ἅμα οἷον ἐπαναβαθμοῖς, ἀναίρηται πρὸς τὰς ἰδέας [1]), καὶ προθυμεῖσθαι περὶ ἑαυτοὺς τῶν νοητῶν ἰδεῶν αἰσθητὰ εἴδωλα ἀπεργάζεσθαι εἰς δύναμιν ἐκείναις παραπλήσια, ἃ τοῖς τε ἐργάταις αὐτοῖς συνοίσει διάπειραν λαμβάνειν τοῦ ἑαυτῶν ἀξιώματος καὶ τοῖς νεωτέροις καὶ ἐπιγιγνομένοις προσβάλλοντα πρὸς τὰς αἰσθήσεις, ὥςπερ αὔρα φέρουσα ἀπὸ χρηστῶν τόπων ὑγίειαν, εἰς ὁμοιότητά τε καὶ φιλίαν καὶ συμφωνίαν τῷ καλῷ λόγῳ ἄξει [2]). Ἡ δὴ Πλάτωνος γνώμη περὶ τῶν τοιούτων ἐστὶ γιγνώσκειν μὲν καὶ γεύεσθαι πάντων τῶν τῇδε κατὰ νόμον, μὴ ἐγκαταμένειν δὲ μηδὲ τευτάζειν ἀεὶ περὶ αὐτά, ὡς τοῦ τέλους ἁπτομένους, ἀλλ' ὡς ἐπὶ τὸ τέλος προβιβάζοντα.

Τὸ μὲν δὴ τέλος καὶ ὁ σκοπὸς τοῦ ἀνθρώπου κατὰ Πλάτωνα δεδήλωται. Ἐχόμενον δ' ἐστὶ θεωρῆσαι, ὅντινα ἂν γίγνοιτο τρόπον ἡ ἐνθάδε παρασκευὴ τῶν τελείων ἐσομένων, καὶ ὅπῃ αὕτη χαλεπὴ καὶ ὅπῃ ῥᾳδία τυγχάνει οὖσα.

Ἀναμνησθῶμεν τῶν ἔμπροσθεν εἰρημένων, ὅτι ἐκ τῆς κοινωνίας ψυχῆς καὶ σώματος τριμερὴς φαίνεται ἡ ψυχή, ἓν μὲν αὐτῆς ἐπιθυμητικόν, ἓν δὲ θυμοειδές, ἓν δὲ λογιστικόν. Ἐκεῖνο μὲν οὖν τῷ σώματι σωτηρίαν καὶ αὔξησιν πορίζειν εἴληχεν ἑκάστου τε τοῦ ἔχοντος καὶ τοῦ ὅλου γένους, τοῦτο δὲ τῆς ἑαυτοῦ τε αὐξήσεως καὶ σωτηρίας κήδεσθαι καὶ τῆς τοῦ τῶν ἄλλων λογιστικοῦ. Τούτων δ' ἕνεκα ἐνέφυσεν ἑκατέρῳ ὁ ποιητὴς ὀρέξεις, τῷ μὲν ἐπιθυμητικῷ, τῆς μὲν τοῦ ἐν ᾧ ἐμπέφυκε σώματος σωτηρίας καὶ αὐξήσεως τὰς ἐδωδῆς καὶ πόσεως ἐπιθυμίας, τῆς δὲ τοῦ γένους, τὴν τῶν ἀφροδισίων· τῷ δὲ λογιστικῷ, τῆς μὲν ἑαυτοῦ εὐπραγίας τὸν οὐράνιον ἔρωτα τῶν ἀϊδίων ὄντων, τῆς δὲ τοῦ τῶν πέλας,

1) Πλ. Συμπ. 211 c, Φαῖδρ. 249 b, c.
2) Πλ. Πολ. Γ', 401 a—d.

τὸν τῆς κοινωνίας καὶ ὁμιλίας ἔρωτα, οὗ μία ἰδέα ἐστὶν ἡ εἰλικρινὴς καὶ ἄδολος παιδεραστία [1]). Ἐπειδὴ δὲ κυριώτατος βίος ἀνθρώπῳ πέφυκεν εἶναι ὁ κατὰ τὸ λογιστικόν, τὴν οἰκείαν ἔχον ἀρετήν,—τούτῳ γὰρ κυρίως προέχει τῶν ἄλλων ζώων [2])—εἰκὸς δήπου καὶ τὸν τούτου ἔρωτα φύσει κρατερώτερον εἶναι τῶν ἐπιθυμιῶν. Καὶ δὴ οὕτως ἔχει τῷ ὄντι· ἴδοι δ' ἄν τις τοῦτο ἐναργῶς ἐν ἀνθρώπῳ ἡλικίᾳ καὶ παιδείᾳ τετελειωμένῳ. Οὐ γὰρ δὴ ὑπολαμβάνειν χρή, ὡς διὰ τῆς παιδείας ἀναιροῦνται αἱ διὰ τοῦ σώματος ἐπιθυμίαι καὶ οἱ εὖ πεπαιδευμένοι γίγνονται ἀναίσθητοι τῶν τοιούτων ἡδονῶν· μᾶλλον δὲ διὰ τῆς ὀρθῆς παιδείας ἀποδίδοται τῷ λογιστικῷ ἡ φύσει καθήκουσα αὐτῷ δύναμις καὶ ἐπιστήμη, οἷς περ ἐπιτίθησι ταῖς ἐπιθυμίαις μέτρα καὶ νόμους.

Φύσει μὲν οὖν οὐ κρατοῦσιν αἱ σωματικαὶ ἐπιθυμίαι τοῦ οὐρανίου ἔρωτος [3]), προτεροῦσι δ' ὅμως χρόνῳ. Ἅμα γὰρ φυομένῳ τῷ ἀνθρώπῳ συμφύονται καὶ αὐτῶν αἱ πολλαὶ ἐν ὅλῃ τῇ δυνάμει, ὅτε οὐδ' ἴχνος λογισμοῦ ἔστιν ἰδεῖν, ὁ δὲ θυμὸς ὡσαύτως ἅμα συγγίγνεται ἐρρωμένος, στερούμενος δὲ τοῦ οἰκείου δεσπότου συνίσταται τῷ ἐπιθυμητικῷ καὶ ὑπηρετεῖ. Τοῦτο μὲν οὖν, ὡς προείρηται, ἐπὶ σωτηρίᾳ τοῦ σώματος δέδοται τοῖς ἀνθρώποις, ἅτε δὲ λόγον καὶ νόμον—τὸ τῶν ἀνθρώπων—οὐκ ἴσχον, τῇ ἑκάστῃ πληρώσει συμπαρομαρτούσῃ ἡδονῇ μεταθέον καὶ πᾶσαν δήποτε λύπην φεῦγον, διττὰ κακὰ ἀπεργάζεται, τοῦτο μὲν πέρα τοῦ μετρίου μεταλαμβάνον τῶν ἡδονῶν τούτων, ἢ φεῦγον τὰ λυπηρά, φθείρει αὐτὸ τὸ σῶμα, ὃ σώζειν τέτακται, τὸ δὲ μέγιστον, τῷ χρόνῳ ἐπειδὰν ἄρχηται ἡ ψυχὴ ἐπεγείρεσθαι, ἐπιῤῥωνυμένου τοῦ λογιστικοῦ αὐτῆς, ἑκάστη ἡδονὴ καὶ λύπη, ὥςπερ ἦλον ἔχουσα προσηλοῖ αὐτὴν πρὸς τὸ σῶμα καὶ προσπερονᾷ καὶ ποιεῖ δοξάζειν τοῦτο ἐναργέστατον εἶναι καὶ ἀληθέστατον, περὶ ὃ ἂν μάλιστα ἡσθῇ ἢ λυπηθῇ [4]), οὗ οὐκ ἂν γένοιτο κακὸν ἄλλο πρεσβύ-

1) Πλ. Πολ. Θ', 580 d, Νόμ. Δ', 721 b, c, Συμπ. 206 b—209 e.
2) Ἀριστ. Ἠθ. Νικ. Α, 6.
3) Πλ. Πολ Ζ'. 516 c, d.
4) Πλ. Φαίδ. 83 b—c.

τερον. Καὶ γὰρ εἴ τις σῶμα Τιβερίου καὶ Κομμόδου ἀνωλεθρότερον ὑπὸ τῶν ἡδονῶν ἔχοι καὶ τὰ πρὸς πλήρωσιν αὐτῶν κατὰ ταὐτὰ ἐκείνοις ἄφθονα, ὥστε μήποτε ἐπιλιπεῖν, καὶ τὸ φιλότιμον δὲ κορεννύναι, ὥσπερ κἀκείνοις, ὑπάρχοι, οὐδ' ὡς ἐκφεύξεται τῶν τιμωριῶν τὴν μεγίστην, οὐδ' ἐν τῷ παρόντι βίῳ· αὕτη δ' ἐστὶν ἡ δούλωσις τοῦ βελτίστου καὶ θειοτάτου τῶν ἑαυτοῦ ὑπὸ τῷ ἀθεωτάτῳ καὶ μιαρωτάτῳ [1]). Ὅτῳ δὲ μήτε τὸ σῶμα ἐξαρκεῖ, μήτε οἱ πόροι, τότε πρὸς τῷ μεγίστῳ κακῷ ποῖα ἄλλα ἐγκατασκηνοῖ, καθ' ἑαυτὰ οὐδὲ ταῦτα σμικρὰ ὄντα, εὔδηλον καὶ οὐδὲν δεῖ λόγῳ κοσμεῖν. Ὅταν δὲ ἐπιστῇ τὸ χρεών, διὰ τὸ προσμεμάχθαι τῷ σώματι ἡ ψυχή, ὥσπερ ὁ Ἡρακλέους χιτών, δυσχώριστος οὖσα, βίᾳ ἐξελκομένη, συνεπισπασαμένη καὶ σάρκας, σὺν πολλῷ μόγῳ καὶ στόνῳ καὶ ἱδρῶτι ἀπαλλάττεται· ἐμβριθὴς δ' οὖσα καὶ γεώδης καὶ ἀκάθαρτος, τῆς μὲν θείας ὄψεως οὐ μήποτε ἀξιωθῇ, κάτω δὲ ἕλκεται εἰς τὸν ὁρατὸν τόπον περὶ τὰ μνήματά τε καὶ τοὺς τάφους κυλινδουμένη [2]).

Τοιαῦτά που γίγνεται τὰ ἄθλα τῆς κακίας· ἃ τις εἰ οἷός τ' ἦν πρότερον σαφῶς λογισμῷ λαβεῖν, προὐθυμεῖτ' ἂν ὡς ἔχοι ποδῶν φεύγειν ἀπ' αὐτῆς, καὶ οὐδ' ἂν ἦν αὐτῷ χαλεπόν· ἀλλὰ γὰρ ἡνίκα αὕτη παραγίγνεται, λογισμὸς οὐκ ἔνι, ἀλλ' ἀγαπᾶν χρὴ ὅτῳ καὶ πρὸς τὸ γῆρας παρεγένετο φρόνησις [3]).

Ἐὰν δή, τούτων οὕτω πεφυκότων, μὴ ἐπιστατῇ ἔξωθεν λογισμός, ὅς, ἕως μὲν παντάπασιν ἀλόγιστός ἐστιν ὁ τρόφιμος, διοριζόμενος τὰς ἀναγκαίας ἐπιθυμίας, ὅσαι τε ἄφυκτοί εἰσι καὶ ὅσαι ἀποτελούμεναι ὠφελοῦσι, καὶ τὰς μὴ ἀναγκαίας, ὅσας ἄν τις ἀπαλλάξειεν ἐκ νέου μελετῶν καὶ ἐνοῦσαι βλαβεραὶ μὲν σώματι, βλαβεραὶ δὲ ψυχῇ εἰσιν, ἐκείναις μὲν ἐπαρκῇ, ταύτας δὲ ἀποτρέπῃ εἰς δύναμιν, ἐπεγειρομένῳ δὲ τῷ λογισμῷ παρατιθῇ τὴν προσήκουσαν τροφήν, νέκταρ καὶ ἀμβροσίαν, θείῳ ὄντι καὶ ἀθανάτῳ, ἀλλὰ τοὐναντίον οἱ ἔξωθεν προσπίπτοντες λόγοι τοιοῦτοι ὦσι, πρὸς οὕς περ ἤδη ὑπὸ τῶν ἐπιθυμιῶν κατακώχιμος γέ-

1) Πλ. Πολ. Θ', 589 e, Θεαίτ. 176 c—177 a, Νόμ. 728 b, c.
2) Πλ. Φαίδ. 81 c, d.
3) Πλ. Νόμ. Β', 653 a.

γονε, τίς μηχανὴ σωτηρίας τῷ τοιούτῳ; Ἀμήχανον εἰπεῖν. Ἐπειδὴ δὲ τότε πράττει τίς τι ἑκών, ὅταν δύνηται ἔχων χρῆσθαι λογισμῷ, κινδυνεύουσιν οἱ κακοὶ γιγνόμενοι ἀκουσίως γίγνεσθαι, αἰτιατέοι δὲ οἱ γονεῖς εἶναι μᾶλλον τῶν τέκνων καὶ οἱ τρέφοντες τῶν τρεφομένων καὶ ὅλως οἱ ὀπηοῦν κρείττονες τῶν ὀπηοῦν ὑποδεεστέρων [1]).

Πῶς οὖν διακειμένη ἡ ψυχὴ ἄριστ' ἂν ἔχοι; Εἰ ἡ παρὰ φύσιν τῶν ἀρχόντων καὶ ἀρχομένων κατάστασις νόσος ἐστὶν ἐν ὅτῳ τοῦτο ἐγγίγνεται, καὶ δὴ καὶ ἐν τῇ ψυχῇ, ἡ κατὰ φύσιν ὑγίεια ἂν εἴη καὶ εὐξία καὶ κάλλος [2]). Γένοιτο δ' ἂν αὕτη, εἰ ἕκαστον τῶν τῆς ψυχῆς μορίων τὴν οἰκείαν ἀρετὴν ἀπολάβοι, ὥστε μὴ μόνον πρόθυμον εἶναι τὰ ἑαυτοῦ ἐπιτελεῖν, ἀλλὰ καὶ δύνασθαι, τὸ μὲν λογιστικόν, ᾧ φύσει προσήκει ἄρχειν καὶ ἔχειν τὴν ὑπὲρ ἁπάσης τῆς ψυχῆς προμήθειαν, εἰ δύναιτο τοῦτο ἔργῳ ὅ τι ἄριστα ἐπιτελεῖν· αὕτη δὲ ἡ ἀρετὴ καλεῖται φρόνησις καὶ σοφία· τὸ δὲ θυμοειδές, ᾧ προσήκει φύσει ὑπηκόῳ εἶναι καὶ συμμάχῳ τοῦ λογιστικοῦ, εἰ προθυμοῖτό τε καὶ δύναιτο τοῦτο ὅτι ἄριστα ἔργῳ ἐπιτελεῖν, μὴ δελεαζόμενον ὑφ' ἡδονῶν καὶ λυπῶν, μηδὲ πτοούμενον ὑπὸ τῶν προσπιπτόντων φόβων ἑκάστοτε, ἀλλὰ διὰ πάντων τούτων διασῴζον, ἣν διὰ τῆς τροφῆς κτησάμενον ἔχοι δόξαν περὶ τῶν δεινῶν, ἅ τε ἀληθῶς ἐστι καὶ οἷα, ἥ, ἣν νῦν ποτε ὑπὸ τοῦ λόγου λαμβάνοι παραγγελίαν· αὕτη δὲ ἡ ἀρετή ἐστιν ἡ ἀνδρεία· τὸ δὲ ἐπιθυμητικόν, ᾧ, τυφλῷ ὄντι καὶ ἀτάκτως κινουμένῳ, προσήκει πειθαρχεῖν τοῖς κρείττοσι γένεσι καὶ κοσμεῖσθαι καὶ ῥυθμίζεσθαι ὑπ' αὐτῶν, εἰ μὴ ἀντιτείνοι, ἀλλὰ προθύμως πείθοιτο δίκην ἀρνίου μᾶλλον ἡμέρου, ἢ τράγου· ἡ δ' ἀρετή, ἣ τὰ τρία γένη τῆς ψυχῆς ὁμοδοξεῖ τὸ λογιστικὸν δεῖν ἄρχειν καὶ οὐ στασιάζει αὐτῷ, οὐδ' ἐπιχειρεῖ δεσπόζειν αὐτοῦ, αὕτη δ' ἐστὶν ἡ σωφροσύνη [3]). Ἡ δὲ τὴν δύναμιν παρέχουσα ἀρετὴ ταῖς τρισὶν ἐκείναις, ὥστε ἐγγενέσθαι, καὶ ἐγγενομέναις σωτηρίαν,

1) Πλ. Τίμ. 87 b. Νόμ. Θ', 860 d κ.τ.λ, Μέν. 77 b—78 b. Πολ. Γ', 492 6, c· e. Γοργ. 515 c—517.

2) Πλ. Πολ. Δ', 444 d, e.

3) Πλ. Πολ. Δ', 427 d—432 a, 441 e—442 d.

τουτέστιν ἡ ποιοῦσα τὸ λογιστικὸν ἄρχειν δύνασθαι, τὴν φρόνησιν ἔχον, καὶ τὸ θυμοειδὲς ἐπικουρεῖν τῷ λογιστικῷ δύνασθαι, τὴν ἀνδρείαν ἔχον, καὶ τὸ ἐπιθυμητικὸν πειθαρχεῖν δύνασθαι καὶ τὰ ἑαυτοῦ πράττειν, ἔχον τὴν σωφροσύνην, αὕτη ἡ ἀρετή ἐστιν ἡ δικαιοσύνη [1]). Ἐν δὴ δικαιοσύνῃ συλλήβδην πᾶσα ἀρετὴ ἕνι [2]).

Τοιαύτης τοίνυν πεφυκυίας τῆς δικαιοσύνης ἡ ἕξις ἀδύνατος παντί, ἀλλὰ μόνοις τοῖς ἄριστα μὲν φῦσιν, ἄριστα δὲ παιδευθεῖσι, πρὸς δὲ καὶ ἡλικίαν τὴν προσήκουσαν ἔχουσιν.

Ἀλλ', ὑπολάβοι ἄν τις, εἰ τοσούτοις μόνον ἐφικτή ἐστιν ἡ δικαιοσύνη, ἄδικοι ἆρά εἰσιν οἱ πολλάκις πλείους; Τοῦτο μὲν οὔ· πολλοὶ γὰρ μεταξὺ τῆς τελείας δικαιοσύνης καὶ τῆς τελείας ἀδικίας βαθμοί. Ἀλλὰ καὶ ἄνευ τούτου, ἐστὶ τῆς φυσικῆς ἐλλείψεως ἀναπλήρωσις δυνατή, ὅταν τοῖς στερουμένοις οἰκείας φρονήσεως ἢ καὶ ἀνδρείας ἔξωθεν ἐπιστατῶσι φρόνησις καὶ ἀνδρεία τῶν κεκτημένων, σκοποῦσαι τὸ κοινὸν ἀγαθόν. Ἐνταῦθα ἤδη προφαίνεται ἡμῖν πολιτείας ἀνάγκη μία, τάξεως δηλαδὴ ἀρχόντων καὶ ἀρχομένων μετὰ δίκης, καὶ νόμων σωζόντων τὴν τάξιν ταύτην. Εἰ γὰρ ἦν δυνατὴ παντὶ ἡ δικαιοσύνη καὶ πᾶς μετὰ σωφροσύνης καὶ ἀνδρείας ἐπιστήμην καὶ νοῦν οἷός τ' ἦν κεκτῆσθαι οἰκεῖον, οὐδὲν ἂν ἔδει τούτου γε ἕνεκα πολιτείας. Ἐπιστήμης γὰρ οὔτε νόμος, οὔτε τάξις οὐδεμία κρείττων, οὐδὲ θέμις ἐστὶ νοῦν οὐδενὸς ὑπήκοον οὐδὲ δοῦλον, ἀλλὰ πάντων ἄρχοντα εἶναι, ἐάν περ ἀληθινὸς ἐλεύθερός τε ὄντως ᾖ κατὰ φύσιν [3])· ἀλλ' ἔδει ἂν μόνον κοινωνίας τῆς τε ἀμοιβαίας βοηθείας ἕνεκα καὶ τῆς τῶν διανοημάτων ἀνακοινώσεως, ὅπερ ἔμφυτος ἔρως ἐστὶν ἀνθρώποις [4]), καὶ συμμαχίας δέ, ἕνεκεν ἀμύνης τῶν ἔξωθεν πολεμίων·

---

1) Πλ. Πολ. Δ', 433 b.

2) Ἀριστ. Ἠθ. Ν. Ε, 3.

3) Διὰ τοῦτο ὁρῶμεν τοὺς ἐν τῇ Πλατωνικῇ πόλει ἄρχοντας ὑπεράνω νόμων καὶ πολιτείας ἱσταμένους, αὐτῶν δὲ τὰς ἀποφάνσεις νόμους ὄντας τῆς πόλεως πολλῷ ἀμείνους καὶ λυσιτελεστέρους τῶν ἐν γράμμασι κειμένων, οἳ τὸ μὲν ὡς ἐπὶ τὸ πολὺ ὁρῶσι καὶ βλέπουσι, τὸ δ' ἐπὶ πᾶν ἀδυνατοῦσι (Νόμ. Θ',875 d).

4) Ἀριστ. Πολ. Α, 2.

νῦν δὲ—οὐ γὰρ ἔστιν οὐδαμοῦ οὐδαμῶς ἀλλ' ἢ κατὰ βραχύ· διὸ δὴ τὸ δεύτερον αἱρετέον, τάξιν τε καὶ νόμον[1]), πολιτείαν δηλαδή. Τοῦτο μὲν οὖν, ὅπερ εἴπομεν, μία ἀνάγκη τοῦ εἶναι πολιτείαν. Ἑτέρα δὲ ἥδε· εἴρηται γὰρ ὅτι ὀλιγίστοις ἔξεστι τελέως δικαίοις γενέσθαι, τοῖς ἄριστα φῦσί τε καὶ τραφεῖσι. Καὶ τοὺς ἄλλους δὲ εἰς ὅσον ἐνδέχεται τελειότητος προελθεῖν ἐκ τούτων ἀμφοτέρων ἥρτηται, φύσεως καὶ τροφῆς. Ἀλλὰ τὸ μὲν τῆς φύσεως οὐκ ἐφ' ἡμῖν ἐστίν, εἰμὴ κατὰ βραχύ, τὸ δὲ τῆς τροφῆς ἔστιν. Πολιτεία δὲ τροφὴ ἀνθρώπων ἐστί, φησὶ Πλάτων[2]), καλὴ μὲν ἀγαθῶν, ἡ δὲ ἐναντία κακῶν. Καὶ οἱ ὀλίγοι ἄρα, οἷς φύσει ὑπάρχει τελέως δικαίοις γενέσθαι, οὐκ ἂν γένοιντο τοιοῦτοι, εἰ μὴ ἐν ὀρθῶς πεπολιτευμένῃ πόλει τραφεῖεν. Εἴ τις οὖν βούλοιτο δικαιοσύνην γνῶναι καὶ ἄνδρα δίκαιον, οἷός τ' ἐστὶ καὶ ὅπως γίγνεται, δεήσειεν ἂν πάντως πολιτείαν γνῶναι τὴν ὀρθήν, καὶ ἐν πόλει, ταύτην τὴν πολιτείαν πολιτευομένῃ, ζητεῖν τὸν δίκαιον.

Καὶ ταῦτα μὲν δὴ ταύτῃ. Ἐχόμενον δ' ἐστὶ διελθεῖν περὶ τῆς συστάσεως καὶ διαθέσεως τῆς Πλατωνικῆς πολιτείας, συντόμως μέντοι· δι' ἀκριβείας γὰρ ἱκανὸν ἂν γένοιτο αὐτὸ καθ' ἑαυτὸ μόνον ἔργον.

Ἐκ τριῶν γενῶν συνέστησε Πλάτων τὴν ἑαυτοῦ πολιτείαν, τοῖς ἐν τῇ ψυχῇ ἀναλόγων, τοῦ ἀρχικοῦ, τοῦ ἐπικουρικοῦ, τοῦ δημιουργικοῦ.

Καὶ τὸ μὲν δημιουργικὸν περιλαμβάνει πάντας τοὺς περὶ γεωργίαν καὶ τέχνας καὶ καπηλείας, ὅλως περὶ χειρουργίας πραγματευομένους, οὓς κοινῷ ὀνόματι οὐκ εἶχε περιλαβεῖν, ἀπὸ δὲ τοῦ κυριωτέρου δημιουργοὺς ἐκάλεσεν. Ἔστι δὲ τοῦτο ἐν τῇ πόλει, ὃ τὸ ἐπιθυμητικὸν ἐν τῇ ψυχῇ, ἐνέχον τὴν πολυειδίαν αὐτοῦ· φύσει δὲ τὸ φαυλότατον γένος· διὸ οὔτε ἀρχῆς, οὔτε ἄλλης πολιτικῆς ὑπουργίας μετέδωκεν αὐτοῖς. Ἔοικε δὲ μηδὲ πολίτας τοὺς τοιούτους καλεῖσθαι προσήκειν τῷ γε ἀκριβεῖ λόγῳ· πολίτης γὰρ ὁρίζεται κατ' Ἀριστοτέλην[3]) ἁπλῶς τῷ μετέχειν

1) Πλ. Νόμ. Θ', 875 c.
2) Πλ. Μενέξ. 238 c.
3) Πολιτ. Γ, 1.

κρίσεως καὶ ἀρχῆς. Μέχρι μὲν δὴ τούτου συγχωροῦμεν Μοργενστέρνῳ. Ὁ δ' ἑξῆς φησι, τοὺς δημιουργοὺς προσεοικέναι τῇ τοῖς Εἵλωσιν [1]), ἐστὶν ἀτυχὴς σφόδρα παραβολή. Οὐ γὰρ δήπου τὸ γεωργεῖν ἐχαρακτήριζε τὴν τάξιν τῶν Εἱλώτων, ἀλλὰ τὸ δουλεύειν· οἱ δὲ παρὰ Πλάτωνι δημιουργοὶ οὕτω διάκεινται πρὸς τοὺς φύλακας, ὥστε προσαγορεύειν αὐτοὺς σωτῆράς τε καὶ ἐπικούρους [2]). Εἰ δὲ διὰ μόνον τὸ γεωργεῖν,—ὃ οὐδὲ κοινὸν πᾶσι τοῖς δημιουργοῖς — ἀπεικαστέοι εἰσὶ τοῖς Εἵλωσιν, ἐξῆν ἂν καὶ πάντας τοὺς ἐφ' ἡμῶν γεωργοὺς καὶ τῶν πολιτικῶν ἀποκεκλεισμένους τοῖς Εἵλωσιν ἀπεικάζειν. Οὐ μὴν οὐδὲ τοῖς μετοίκοις τῶν Ἀθηναίων προσόμοιόν τι ἔχουσιν, ὄχλῳ σύγκλυδι, παντοδαπῷ, ὅπως ἔτυχεν ἐπιδημοῦσι καὶ ἀποδημοῦσιν, ὧν ἡ Ἀθήνησι μονὴ ἦν μὲν ὠφέλιμος τῇ πόλει, οὐ μὴν πάντως ἀναγκαία· ἐξῆν γὰρ καὶ τοῖς πολίταις τὰ ἐκείνων ἐπιτηδεύειν.

Πρόϊμεν δὲ εἰς τὸ τῶν φυλάκων γένος. Οὗτοι εἰσὶ χίλιοι τὸν ἀριθμόν, οἱ ἄριστα πεφυκότες. Διττὸν δὲ τὸ ἔργον αὐτῶν, τούς τε ἔξωθεν πολεμίους ἀπαμύνειν, τούς τε ἔνδον φιλίους κατέχειν, εἴ τις μὴ ἐθέλοι τοῖς νόμοις πείθεσθαι [3]). Καὶ τὴν φύσιν δὴ ἐπιτηδείους δεῖ αὐτοὺς εἶναι εἰς τὸ ἐπιτήδευμα τοῦτο, ὀξεῖς πρὸς αἴσθησιν καὶ ἰσχυροὺς τὸ σῶμα καὶ θυμοειδεῖς τὴν ψυχήν. Ἐπειδὴ δὲ συμβαίνει τοὺς οὕτω πεφυκότας ἀγρίους γίγνεσθαι ἀλλήλοις τε καὶ τοῖς ἄλλοις πολίταις, πρὸς οὓς δεῖ τοὐναντίον ὅ τι πραοτάτους εἶναι, τὴν δὲ τοιαύτην ἕξιν δύναται μόνον ἡ ὀρθὴ τροφὴ καὶ παιδεία ἐμποιῆσαι αὐτοῖς, διὰ τοῦτο κυρίως τούτων χάριν γίγνεται ἡ ἐν τῇ Πολιτείᾳ περὶ τροφῆς καὶ παιδείας πραγματεία [4]).

---

1) Morgenstern «de Plat. civitate perfecta».

2) Πλ. Πολ. Ε', 463 b.

3) Πλ. Πολ. Γ', 415 e, 414 b.

4) Σλειερμάχερος δύο τινῶν ἐπιλαμβάνεται τῆς διατάξεως τῆς περὶ τοὺς φύλακας (Einleit. S. 15 καὶ 16)· ἓν μέν, ὅτι χίλιοι ἄνδρες ἀργοὶ δυσφόρητον ἂν γένοιντο ἄχθος τοῖς τρέφουσι δημιουργοῖς, ἓν δέ, ὅτι στρατιώταις οὐδὲν δέοι οὕτως ἀκριβοῦς παιδείας καὶ διηνεκοῦς μελέτης, καὶ γὰρ ἂν πᾶς πᾶν ἄλλο ἐπιτηδεύων, μελετῶν ἅμα καὶ τὰ στρατιω-

Ἐκ δὲ τοῦ γένους τῶν φυλάκων τοὺς παρὰ πάντα τὸν βίον βασανισθέντας καὶ φανέντας ἀρίστους, πεντηκοντούτας γενομένους καθίστησιν ἄρχοντας τῆς πόλεως [1]).

Ἐπειδὴ δὲ κατὰ τὴν Πλάτωνος γνώμην πάντων μὲν ἐπιτηδευμάτων δυνατή ἐστι γυνὴ κατὰ φύσιν μετέχειν, πάντων δὲ ἀνήρ, ἐπὶ πᾶσι δὲ ἀσθενέστερον γυνὴ ἀνδρός, βούλεται καὶ τὰς γυναῖκας τῶν φυλάκων πάντα τὰ τούτων ἐπιτηδεύειν καὶ πολέμου κοινωνεῖν καὶ ἀρχῶν, καὶ παιδείας ἄρα τῆς αὐτῆς μεταλαμ-

---

τικά, ἱκανὸς γένοιτο ἐν πολέμῳ τὸ ἑαυτοῦ δεόντως ἐπιτελεῖν, ἀλλὰ μόνον τοῖς στρατηγοῖς ἔδει, φησίν, ἀποδοῦναι τὴν ἀκριβῆ τροφὴν καὶ μελέτην ταύτην. Πρὸς ταῦτα ἀκουστέος πρότερον Πλούταρχος (Γάλβα τὰ πρῶτα)· «Ὁ δὲ Πλάτων, φησίν, οὐδὲν ἔργον ὁρῶν ἄρχοντος ἀγαθοῦ καὶ στρατηγοῦ, στρατιᾶς μὴ σωφρονούσης, μηδὲ ὁμοπαθούσης, ἀλλὰ τὴν πειθαρχικὴν ἀρετήν, ὁμοίως τῇ βασιλικῇ, νομίζων φύσεώς τε γενναίας καὶ τροφῆς φιλοσόφου δεῖσθαι μάλιστα, τῷ πράῳ καὶ φιλανθρώπῳ τὸ θυμοειδὲς καὶ δραστήριον ἐμμελῶς ἀνακεραννυμένης, ἄλλα τε πάθη πολλὰ, καὶ τὰ Ῥωμαίοις συμπεσόντα μετὰ τὴν Νέρωνος τελευτήν, ἔχει μαρτύρια καὶ παραδείγματα τοῦ μηδὲν εἶναι φοβερώτερον ἀπαιδεύτοις χρωμένης καὶ ἀλόγοις ὁρμαῖς ἐν ἡγεμονίᾳ στρατιωτικῆς δυνάμεως». Ἀλλὰ καὶ οὕτω τάχ' ἂν συνεχώρησέ τίς πῃ Σλειερμαχέρῳ, εἰ οἱ λεγόμενοι στρατιῶται μηδὲν ἄλλο ἢ στρατιῶται ἦσαν. Ἀλλὰ ὁ σοφὸς ἀνὴρ ἐπελάθετο τοῦ σπουδαιοτάτου αὐτῶν ἔργου, μὴ μόνον τοὺς οἰκείους σώζειν ἐκ τῶν πολεμίων, ἀλλὰ καὶ ἐκ τῆς σφετέρας πλεονεξίας, καὶ προσέτι γίγνεσθαι τῷ πλήθει ζῶντα καὶ ἐναργῆ παραδείγματα ἀρετῆς καὶ διαφερομένων δικαιοσύνης καὶ ἁμαρτανόντων τιμωρούς. Τοῦτο δ' ἔστι συναγαγεῖν ἐκ τῆς ὅλης πραγματείας, μάλιστα δὲ Πλ. Πολ. Δ', 421 a, b. Γ', 416 a, b, c· 414 b. Ζ', 539 e. 519 d κ.τ.ἑ. Δ' 425 c κ.τ.ἑ. πάντων γὰρ τούτων ἡ μεταχείρισις ἐπὶ τοῖς φύλαξι γίγνεται. Ἴσως δ' οὐκ εἰκῇ Πλάτων αὐτοὺς οὐ στρατιώτας ὀνομάζει, ἀλλὰ φύλακας καὶ ἐπικούρους τοῖς τῶν ἀρχόντων δόγμασι (Πολ. Γ', 414 b.)· ταῦτα γὰρ οὐδὲν μᾶλλον πρὸς τὸν πόλεμον καὶ τοὺς ἐκτὸς ἔχει ἀναφοράν, ἢ πρὸς εἰρήνην καὶ τοὺς ἔνδον. Εἰσὶν ἄρα ἐν μέρει τῶν ἐν ταῖς καθ' ἡμᾶς πολιτικαῖς κοινωνίαις ἀρχόντων καὶ διδασκάλων καὶ ἱεροκηρύκων καὶ παντοίων ἄλλων προεστώτων τοῦ λαοῦ πρὸς τῷ στρατιώτας εἶναι. Οὔτ' οὖν περιττῆς παιδείας μεταλαμβάνουσιν, οὔτε ἐπαχθεῖς γίγνονται τοῖς δημιουργοῖς, ἄλλως τε καὶ ὀλιγαρκέστατοι ὄντες (Πολ. Γ', 416 d, e.).

1) Πλ. Πολ., Γ' 414 a.

βάνειν, διὰ δὲ τὴν τοῦ γένους ἀσθένειαν τὰ ἐλαφρότερα ἔργα αὐταῖς ἐπιτάττειν [1]).

Ἐπειδὴ δὲ οὐδὲν μεῖζον κακὸν πόλει ἢ ἐκεῖνο, ὃ ἂν αὐτὴν διασπᾷ καὶ ποιᾷ πολλὰς ἀντὶ μιᾶς, οὐδὲ μεῖζον ἀγαθὸν τοῦ, ὃ ἂν συνδῇ τε καὶ ποιῇ μίαν, ἵνα δὴ ἄρῃ τὴν αἰτίαν τοῦ λέγειν ἄλλον ἄλλο τό τε ἐμὸν καὶ τὸ οὐκ ἐμόν, ἀλλὰ πάντας μιᾷ φωνῇ ταὐτὸν φθέγγεσθαι ποιήσῃ, βούλεται μηδένα τῶν φυλάκων μηδεμίαν οὐσίαν κεκτῆσθαι ἰδίαν, ἂν μὴ πᾶσα ἀνάγκη· ἔπειτα οἴκησιν καὶ ταμιεῖον μηδενὶ εἶναι μηδὲν τοιοῦτον, εἰς ὃ οὐ πᾶς ὁ βουλόμενος εἴσεισι· τὰ δ' ἐπιτήδεια, ὅσων δέονται ἄνδρες ἀθληταὶ πολέμου σώφρονές τε καὶ ἀνδρεῖοι, ταξαμένους παρὰ τῶν ἄλλων πολιτῶν δέχεσθαι μισθὸν τῆς φυλακῆς τοσοῦτον, ὅσον μήτε περιεῖναι αὐτοῖς εἰς τὸν ἐνιαυτόν, μήτε ἐνδεῖν· φοιτῶντας δὲ εἰς συσσίτια, ὥσπερ ἐστρατοπεδευμένους κοινῇ ζῆν [2])· ἔτι δὲ καὶ γυναῖκας καὶ παῖδας κοινοὺς εἶναι [3])· γεννᾶν δὲ τοὺς μὲν ἄνδρας ἀρξαμένους ἀπὸ τοῦ τριακοστοῦ ἔτους μέχρι τοῦ πεντεκαιπεντηκοστοῦ,

---

1) Πλ. Πολ. Ε', 455 d—457 a.

2) Πλ. Πολ. Γ', 416 c—417.

3) Πλ. Πολ. Ε', 449—461. Ἥγελος (Gesch. d. Philosophie II S. 257), ὡς ἀναμφισβήτητον ὄν, ὅτι καὶ τὰ τῶν δημιουργῶν ἅπαντα κοινὰ ἐποίησε Πλάτων, τὸ ἐκ τούτου διαπορεῖται, τί ποτ' ἂν ὁρμήσειε τούτους εἰς φιλοπονίαν καὶ προβίβασιν τῶν τεχνῶν, εἰ μὴ ὑπάρχοι ἐλπὶς ἰδίας κτήσεως. Ἀλλὰ τὸ πρᾶγμά ἐστιν οὐχ οὕτως ἀπηλλαγμένον, καὶ Ἀριστοτέλης λέγει (Πολ. Β, 5) ὅτι οὐδὲν σαφὲς περὶ τούτων διώρισται. Οὐ μὴν ἀλλὰ πολλαχόθεν ἐστὶ τεκμήρασθαι ὅτι Πλάτων μόνον τὰ τῶν φυλάκων κοινὰ ἐποίησε, μάλιστα ἐκ τῶνδε. (Πολ. Γ', 416 c —417 b, Δ', 419, Ε', 451, c, d. 461 e· 463 b, c· 464 a, b, c· Ε', 465 b). Ταῦτα μὲν περὶ τῶν φυλάκων κυρίως λέγεται. Περὶ δὲ τῶν δημιουργῶν λέγει μὲν ὅτι πλοῦτος καὶ πενία διαφθείρει αὐτούς, ὡς τοῦ μὲν τρυφὴν καὶ ἀργίαν καὶ νεωτερισμὸν ἐμποιοῦντος, τοῦ δὲ ἀνελευθερίαν καὶ κακουργίαν πρὸς τῷ νεωτερισμῷ· καὶ δὴ κελεύει τοῖς φύλαξι φυλάττειν, ὅπως μήποτε αὐτοὺς λήσει εἰς τὴν πόλιν παραδύντα (Πολ. Δ', 421 d)· ἀλλὰ τοῦτο οὐκ ἔστι κοινότης κτημάτων καὶ γυναικῶν· ἀλλ' ὥσπερ τοῖς Περιοίκοις καὶ τοῖς Εἵλωσι δὴ ἐξῆν κατὰ λόγον τῆς φιλοπονίας καὶ εὐφυΐας ἄλλον ἄλλου πλείω κτᾶσθαι χρήματα, μηδένα δὲ εἶναι πλούσιον, τὸν αὐτὸν τρόπον καὶ τοῖς δημιουργοῖς τῆς Πλατωνικῆς πόλεως.

τὰς δὲ γυναῖκας ἀπὸ τοῦ εἰκοστοῦ μέχρι τοῦ τεσσαρακοστοῦ· συμμίγνυσθαι δὲ μὴ ἀτάκτως· οὐ γὰρ ὅσιον· ἀλλ' ἐν ἑορταῖς συνάγειν τοὺς νυμφίους καὶ τὰς νύμφας, καὶ ἐπιτελεσθεισῶν τῶν πρεπουσῶν θυσιῶν καὶ εὐχῶν ποιεῖσθαι τὰς συνέρξεις κλήρῳ, ἵνα πᾶς τις τὴν τύχην ἔχῃ αἰτιάσασθαι, τῇ δ' ἀληθείᾳ ἐπιμελὲς εἶναι τοῖς ἄρχουσιν, ὅπως οἱ φαυλότατοι ταῖς φαυλοτάταις συγγίγνωνται καὶ οἱ ἄριστοι ἐν πολέμῳ ἢ ἄλλοθί που ταῖς ἀρίσταις· ἔτι δὲ καὶ ἆθλα διδόναι τούτοις ἄλλα τε καὶ ἀφθονεστέραν τὴν ἐξουσίαν τῆς τῶν γυναικῶν συγκοιμήσεως, ἵνα καὶ ἅμα μετὰ προφάσεως ὡς πλεῖστοι τῶν παίδων ἐκ τῶν τοιούτων σπείρωνται [1])· καὶ τὰ μὲν τῶν ἀγαθῶν ἀγαθὰ φυόμενα λαμβανούσας τὰς

---

1) Οἱ μεγάλοι ἄνδρες, ἦν ποτε σφαλῶσι, μεγάλα σφάλλονται. Τοῦτό μοι δοκεῖ πεπονθέναι καὶ ὁ μέγας Σλειερμάχερος (Einleit. S. 35), ὑπολαβὼν Πλάτωνα καὶ τοῦτο ἐν ἄθλου μοίρᾳ θέσθαι καὶ ἀμίλλης ἕνεκεν περὶ τὰ ἀριστεῖα συγχωρῆσαι τοῖς νέοις, τὸ συγγίγνεσθαι αἰσχρῶς τοῖς παιδικοῖς, ἐν τοῖσδε· «Τὸν δὲ ἀριστεύσαντά τε καὶ εὐδοκιμήσαντα οὐ πρῶτον μὲν ἐπὶ στρατείας ὑπὸ τῶν συστρατευομένων μειρακίων τε καὶ παίδων ἐν μέρει ὑπὸ ἑκάστου δοκεῖ σοι χρῆναι στεφανωθῆναι; ἢ οὔ; Ἔμοιγε. Τί δέ; δεξιωθῆναι; Καὶ τοῦτο. Ἀλλὰ τόδ', οἶμαι, ἦν δ' ἐγώ, οὐκέτι σοι δοκεῖ. Τὸ ποῖον; Τὸ φιλῆσαί τε καὶ φιληθῆναι ὑπὸ ἑκάστου. Πάντων, ἔφη, μάλιστα· καὶ προστίθημί γε τῷ νόμῳ, ἕως ἂν ἐπὶ ταύτης ὦσι τῆς στρατείας, καὶ μηδενὶ ἐξεῖναι ἀπαρνηθῆναι, ὃν ἂν βούληται φιλεῖν, ἵνα καί, ἐάν τίς του τύχῃ ἐρῶν ἢ ἀρρένος ἢ θηλείας, προθυμότερος ᾖ πρὸς τὸ τἀριστεῖα φέρειν» (Πολ. Ε', 468 b, c.). Ἀμάθους δὲ (Intelligenzblatt d. allgem. Literaturzeitung, N° 77, Octob. 1833) ἀγαστὴ μὲν ἡ προθυμία τοῦ σῶσαι Πλάτωνα τοῦ βυθοῦ τῆς ἀτιμίας, φοβοῦμαι μέντοι μὴ μᾶλλον καταδύῃ αὐτῷ σαπρὸν σχοινίον καθείς. Συγχωρεῖ γὰρ περὶ συνουσίας εἶναι τὸν λόγον, κατὰ φύσιν δὲ ἀρρένων καὶ θηλέων τῶν ἠριστευκότων. Ἀλλὰ τοῦτο ῥᾳδίως ἂν ἐλέγξειέ τις, ὅτι ὁ λόγος περὶ ἀρρένων ἐρώντων μόνον ἐστί, καὶ ἄλλως δὲ παρὰ γυναικῶν ἀριστείας οὐ πάνυ προσδοκᾷ Πλάτων ἐν πολέμῳ. Ἀλλὰ καὶ εἰ τοῦτο οὕτως εἶχε, τοῦ μὲν ψόγου τοῦ νομοθετῆσαι παρὰ φύσιν ἔρωτας ἀπήλλαξεν ἂν Πλάτωνα, ἄλλου δέ, οὐδ' αὐτοῦ σμικροῦ, οὐκ ἄν, ὃν ἀμφότεροι οἱ ἄνδρες ἔλαθον ἑαυτοὺς περιποιοῦντες Πλάτωνι, δεινῆς λέγω ἀφροσύνης. Τὰς γὰρ συνουσίας ταύτας—εἴπερ εἰσίν, εἰ δὲ κατὰ φύσιν ἢ παρὰ φύσιν, θῶμεν τό γε νῦν ἀδιάφορον εἶναι,—βούλεται Πλάτων, ὥς φησιν, ἐπὶ τῆς στρατείας γίγνεσθαι, καὶ πρὸ τῆς μάχης,

ἐπὶ τούτων ἐφεστηκυίας ἀρχὰς εἰς τὸν σηκὸν φέρειν παρά τινας τροφούς, χωρὶς οἰκούσας ἔν τινι μέρει τῆς πόλεως, μηχανωμένας πᾶσαν μηχανήν, ὅπως μηδεμία τῶν μητέρων τὸ ἑαυτῆς αἰσθή-

---

δῆλα δή, ἵνα κατ' αὐτὴν ἀνδραγαθίσωνται. Πῶς οὖν οὐ μωρὸν καὶ καταγέλαστον μέλλοντας μαχεῖσθαι, ἀντὶ τοῦ ὀτρύνειν ἵππων καὶ ἀσπίδων ἐπιμελεῖσθαι καὶ ξιφῶν θήξεως καὶ θωρήξεως καὶ σωμάτων καὶ ψυχῶν καὶ μεμνῆσθαι θούριδος ἀλκῆς καὶ δηΐων ὀρέγεσθαι, ἀντὶ τούτων πρὸς γάμους καὶ εὐνὰς τρέποντα τὸν θυμὸν αὐτῶν, ἀντὶ τοῦ Ἄρεως τὴν πάνδημον Ἀφροδίτην παραστάτιν αὐτοῖς διδόντα ἐν τῇ μάχῃ, ταύτῃ ἐλπίζειν προθύμους ποιῆσαι πρὸς τὸ ἀριστεύειν; Καὶ μὴν οἷα ἐστὶν ἡ παρὰ τῆς Ἀφροδίτης βοήθεια τοῖς ταύτην ἐν πολέμῳ ἐπικαλουμένοις, ἱκανῶς δέδεικται κατὰ τὴν Πάριδος μονομαχίαν πρὸς Μενέλαον καὶ τὴν Ἀντωνίου περὶ Ἄκτιον ναυμαχίαν καὶ τὴν Ἀντιόχου ἐπὶ Ῥωμαίους στρατείαν. Οὕτω μὲν οὖν ἄφρονα ἀποφαίνουσι Πλάτωνα οἱ περὶ συνουσίας δεχόμενοι εἶναι τὸν λόγον. Τάχα δ' ἡμῖν καὶ ἔμπληκτος φανεῖται κατὰ Σλειερμάχερον. Ἵνα γὰρ παραλίπω τὰ πολλὰ ἄλλα χωρία, τὰ κατεσπαρμένα ἁπανταχοῦ τῶν συγγραμμάτων αὐτοῦ (Φαῖδρ. 250 e. 254 a. Συμπ. 181 b, κτλ. Γοργ. 494 e. Νόμ. Α', 636 b, c. Η', 836—842), ἐν οἷς ἀποπτύει τὴν βδελυγμίαν ταύτην καὶ δυσχεραίνει ἐπ' αὐτῇ, ἃ μέντοι ἐν αὐτῇ τῇ Πολιτείᾳ ἔμπροσθεν (Γ', 403 a, b.) εἶπε περὶ αὐτοῦ τούτου ἱκανὰ ἀποφῆναι αὐτὸν τοιοῦτον, εἰ χρὴ Σλειερμαχέρῳ πιστεύειν· ἔοικε δ' ὅμως ταῦτα διαφυγεῖν τὸν σοφὸν ἄνδρα· οὐδὲν γοῦν λέγει περὶ αὐτῶν, οὐδὲ συνάπτει πῃ τοῖς προκειμένοις, ὅπερ εἰκὸς ἦν καὶ ἀναγκαῖον· εἰ δὲ τούτων ἔννοιαν εἶχεν, οὐκ ἂν τοιαῦτα κατηγόρησε Πλάτωνος, ὡς ἐγὼ πείθω ἐμαυτόν. Λέγει γὰρ ἐκεῖ Πλάτων· «Ὁ δὲ ὀρθὸς ἔρως πέφυκε κοσμίου τε καὶ καλοῦ σωφρόνως τε καὶ μουσικῶς ἐρᾶν; Καὶ μάλα, ἦ δ' ὅς. Οὐδὲν ἄρα προσοιστέον μανικὸν οὐδὲ ξυγγενὲς ἀκολασίας τῷ ὀρθῷ ἔρωτι; Οὐ προσοιστέον. Οὐ προσοιστέα ἄρα αὕτη ἡ ἡδονή, οὐδὲ κοινωνητέον αὐτῆς ἐραστῇ τε καὶ παιδικοῖς ὀρθῶς ἐρῶσί τε καὶ ἐρωμένοις; Οὐ μέντοι, μὰ Δί', ἔφη, ὦ Σώκρατες, προσοιστέα. Οὕτω δὴ νομοθετήσεις ἐν τῇ οἰκιζομένῃ πόλει φιλεῖν μὲν καὶ ξυνεῖναι καὶ ἅπτεσθαι, ὥςπερ υἱέος, παιδικῶν ἐραστὴν τῶν καλῶν χάριν, ἐὰν πείθῃ· τὰ δ' ἄλλα οὕτως ὁμιλεῖν πρὸς ὃν τις σπουδάζοι, ὅπως μηδέποτε δόξῃ μακρότερα τούτων συγγίγνεσθαι· εἰ δὲ μή, ψόγον ἀμουσίας καὶ ἀπειροκαλίας ὑφέξοντα». Ἀκούοι πᾶς, οἵοις ῥήμασι βάλλει Πλάτων τὸν ἐργάτην ἀνομίας· ἄμουσον καὶ ἀπειρόκαλον ἀποκαλεῖ αὐτόν, καὶ ταῦτα Ἕλληνα, καὶ ταῦτα Ἀθηναῖον· οὗ οὐκ ἴσμεν μεῖζον ἂν ὄνειδος γενόμενον. Πλάτων

σεται, τὰ δὲ τῶν φαύλων, καὶ εἴ τι τῶν ἀγαθῶν ἀνάπηρον γίγνεται, καὶ τὰ ἐκ τῶν ἀώρων ἢ ὑπερηλίκων, συγγενομένων ἀκ-

---

τοίνυν καταφαίνεται ἡμῖν ἐνταῦθα ἔμπληκτός τε ὤν, περὶ τῶν σπουδαιοτάτων νῦν μὲν οὕτω, μεθ' ἡμέραν δὲ ἄλλως γιγνώσκων, καὶ ἐπιλήσμων δέ, οἷς ἔμπροσθεν ἐγεγράφει, σμικρῷ ὕστερον ἐναντία γράφων. Ἔτι καὶ τοῦτο συμβαίνει. Πλάτων συνεχώρησεν, ἕως ἂν ἐπὶ ταύτης ὦσι τῆς στρατείας,—οὗ μοι πᾶς ἀντεχέσθω—συγγίγνεσθαι καὶ θηλείαις, ἐάν τίς τινος ἐρῶν τυγχάνῃ· θηλείαις—πότερον παρθένοις ἢ γεννώσαις; εἰ μὲν παρθένοις, μήπω εἰκοσαέτισιν, — ἡλίκας κατά γε τὴν ἐμὴν ἔννοεῖ Πλάτων τὰς θηλείας λέγων, — τί ὄφελος τοῦ πρότερον τεθέντος νόμου (Πολ. Ε′, 460 e) τοῦ ὁρίζοντος τοῦ γάμου τὴν ἡλικίαν; εἰ δὲ γεννώσαις, πρὸς τί ἡ νόμῳ κατάστασις ἑορτῶν καὶ θυσιῶν καὶ ὕμνων ἐπὶ τοῖς γάμοις καὶ τῆς ἄλλης περὶ αὐτοὺς τελετῆς καὶ χρόνου συνέρξεως καὶ κλήρων καὶ τῶν ἄλλων; ἢ μέλλει ἐπὶ τῆς στρατείας πάντα ταῦτα τελεῖσθαι; οἴεσθαί γε χρή. Ἔτι δὲ καὶ Ἀριστοτέλης, ὃς ἐκὼν εἶναι οὐ πάνυ τι χαρίζεται Πλάτωνι, καὶ ῥᾷον διέφυγεν ἂν αὐτόν τι τῶν ὑπὲρ Πλάτωνος ἢ τῶν κατὰ Πλάτωνος, λέγει περὶ τούτου· «Ἄτοπον δὲ καὶ τὸ κοινοὺς ποιήσαντα τοὺς υἱούς, τὸ συνεῖναι μόνον ἀφελεῖν τῶν ἐρώντων, τὸ δὲ ἐρᾶν μὴ κωλῦσαι μηδὲ τὰς χρήσεις τὰς ἄλλας, ἃς πατρὶ πρὸς υἱὸν εἶναι πάντων ἐστὶν ἀπρεπέστατον καὶ ἀδελφῷ πρὸς ἀδελφόν· ἐπεὶ καὶ τὸ ἐρᾶν μόνον». (Ἀριστ. Πολ. Β′, 4). Διαῤῥήδην φησὶν Ἀριστοτέλης ὅτι τὸ συνεῖναι ἐκώλυσε Πλάτων· ψέγει δὲ αὐτὸν ὅτι τὸ ἐρᾶν συνεχώρησε, τί τάχ' ἂν ἔδρασεν, εἰ ἤσθετο ὅτι καὶ τὸ συνεῖναι συνεχώρησε; Τί οὖν οὐ προδιέλυσε ταῦτα ὁ σοφὸς ἀνήρ, πρὶν ἐξήνεγκε τὴν καταδίκην Πλάτωνος;

* * *

Ἦν ποτε χρόνος, ὅτε ἀφασία με εἶχε, μὴ συνορῶντα, τί ποτ' ἦν τῆς Πλατωνικῆς ῥήσεως τὸ αἴτιον τοῦ σφάλματος· ἐδόκουν γάρ, κἂν εἴ τις βίᾳ βούλοιτο διαστρέψαι τὴν διάνοιαν τῶν ῥημάτων, μὴ ἂν δύνασθαι· τὸ γὰρ φιλεῖν οὐδαμοῦ οὐδὲν πλέον δύναται ἢ φιλεῖν. Νῦν δὲ δοκῶ μοι μαντεύεσθαι τὸ αἴτιον, Ἀμάθους ὑπαινιξαμένου. Τῇ περὶ ἧς ὁ πολὺς ὅδε λόγος ῥήσει Πλάτωνος, ἣν ἔμπροσθεν παρεθέμεθα, ἕπεται τάδε· «Καλῶς, ἦν δ' ἐγώ· ὅτι μὲν γὰρ ἀγαθῷ ὄντι γάμοι τε ἕτοιμοι πλείους ἢ τοῖς ἄλλοις καὶ αἱρέσεις τῶν τοιούτων πολλάκις παρὰ τοὺς ἄλλους ἔσονται, ἵν' ὅ τι πλεῖστοι ἐκ τοῦ τοιούτου γίγνωνται, εἴρηται ἤδη. Ταῦτα, ὡς ἔοικεν, ἀνήνεγκε Σχλειερμάχερος εἰς τὰ προηγούμενα, ὡς ἐπιβεβαίωσιν ἢ διασάφησιν ἐκείνων. Ἄκιστα ὀρθῶς. Ἔχει γὰρ τὸ πρᾶγμα ὧδέ πως· Πλάτων προτίθεται ἐν τῷ κεφαλαίῳ τούτῳ περὶ τῶν ἄθλων διελθεῖν τῶν δοτέων τοῖς ἐν πολέμῳ ἀριστεύσασι. Πρῶτον μὲν οὖν ἆθλον ἔταξε τὸ στεφανωθῆναι ὑπὸ μειρακίων καὶ παίδων,

μαίαις γυναιξί, καὶ τὰ ἐξ ἀκμαίων μὲν ἀνδρῶν καὶ γυναικῶν, ἀλλὰ μὴ συνέρξαντος ἄρχοντος, γεννώμενα, καὶ τὰ ἐξ ὑπερηλί-

---

δεύτερον τὸ δεξιωθῆναι ὑπ' αὐτῶν, τρίτον τὸ φιλῆσαί τε καὶ φιληθῆναι. Ταῦτά ἐστιν ἆθλα τῶν ἠριστευκότων. Γλαύκων δὲ βούλεται τῷ φιλεῖν μὴ μόνον ἆθλῳ, ἀλλὰ καὶ παρορμήματι πρὸς τὸ ἀριστεύειν χρῆσθαι. Ἐπειδὴ δὲ συνέβαινεν, ὡς εἰκός, τινὰ φιλότιμον μὲν καὶ τἆλλα ἄμωμον, αἰσχρὸν δὲ τὸ εἶδος, οἷον Σωκράτην τινὰ ἢ Θεαίτητον, ἐρῶντά τινος τῶν καλῶν καὶ βουλόμενον φιλεῖν, μὴ στέργεσθαι, τοῦτο δὴ προστίθησι Γλαύκων τῷ νόμῳ, ἐπὶ γοῦν τῆς στρατείας μηδενὶ ἐξεῖναι ἀπαρνηθῆναι τὸ φιλεῖσθαι ὑπὸ τοῦ βουλομένου. Οἷος δ' ἐστὶν ὁ ἔρως οὗτος καὶ κατὰ τίνα νοῦν τὸ φιλεῖν γίγνεται, προεδήλωσε Πλάτων ἡμῖν ἐν οἷς ἔμπροσθεν παρεθέμην, διαφέρει δ' οὐδὲν ἡ διάνοια τοῦ χωρίου ἐκείνου τῆς τοῦδε ἀλλ' ἢ τοῦτο, ὅτι ἐκεῖ μὲν ἔξεστι φιλεῖν καὶ ξυνεῖναι καὶ ἅπτεσθαι, ὥςπερ υἱέος, παιδικῶν ἐραστὴν τῶν καλῶν χάριν, ἐὰν πείθῃ, ἐνταῦθα δέ, κἂν μὴ πείθῃ. Ἐφάνη τοίνυν ἡμῖν ἐν τῇ ἀπαριθμήσει τὸ φίλημα τρίτον ἆθλον, αὐτὸ δὲ τοῦτο καὶ παρόρμημα. Μετὰ δὲ τοῦτο ἐχόμενον ἦν εἰπεῖν περὶ αὐτῆς τῆς γαμικῆς συνουσίας, ὡς ἄλλου ἄθλου· ἀλλ' ἐπειδὴ ἐτύγχανε προειπὼν περὶ αὐτοῦ ἐν τῷ περὶ γάμων κεφαλαίῳ (Πολ. Ε', 460 b), ἠναγκασμένος ἅμα τε ἐπιμνησθῆναι τούτου ἐνταῦθα, ὡς ἄθλου, καὶ ὑπομνῆσαι ὅτι προείρηται, διὰ βραχυλογίαν, καθ' ἣν εἴωθεν ὁ γὰρ, πρωταγωνιστεῖν, ἐγένετο ἡ ἄτοπος μέν, συνήθης δὲ παρ' Ἕλλησι συμπλοκὴ λόγων διαφόρων. Εἴη δ' ἂν τοιόςδε που ὁ λόγος πλήρης· «Καλῶς, ἦν δ' ἐγώ· φθήσομαι δέ σε εἰπών, ἢ μέλλεις ὑπολήψεσθαι, ὅτι καὶ τὰς τοῦ σώματος ἐπιθυμίας τῶν ἀρίστων ὑπολόγους ποιεῖσθαι χρὴ περὶ ἆθλων διϊόντας, μὴ μόνον δεξιώμασι καὶ φιλήμασι παρὰ τῶν καλῶν ἑστιᾶν αὐτούς· ἀλλὰ γὰρ εἴρηται ἤδη ὅτι καὶ τούτῳ γεραροῦμεν αὐτούς, καὶ πῶς, ὅτι κατὰ φύσιν καὶ ὡς μάλιστα συμφέρει τῇ πόλει, τοὺς ἀρίστους ταῖς ἀρίσταις συγγίγνεσθαι πλειστάκις, ἵνα ὅ τι πλεῖστοι ἐκ τῶν τοιούτων γίγνωνται· ἀρκεῖ δὴ ὑπομνῆσαι τοῦτο ἐνθάδε». Τοῦτο ἤδη ἐχρῆν μᾶλλον ἐνστῆναι Σλειερμαχέρῳ, ὥστε μὴ ἐκλαβεῖν τὰ ἑπόμενα ὡς ἐπιβεβαιοῦντα ἢ διασαφοῦντα τὰ προηγούμενα· ἐν γὰρ τούτοις περὶ τεκνώσεως γίγνεται λόγος, τοῖς δὲ προηγουμένοις, ἐν οἷς περὶ ἔρωτος καὶ ἀῤῥένων λέγεται, οὐδὲν προσήκει τεκνώσεως.

Μετὰ δὲ ταῦτα πρόεισι Πλάτων καταλέγων καὶ τὰ λοιπὰ τῶν ἆθλων, ὅτι δεῖ προσέτι τιμᾶν τοὺς ἀρίστους ἔδραις τε καὶ κρέασιν ἠδὲ πλείοις δεπάεσιν, καὶ ἀποθανόντας ὡς δαίμονας θεραπεύειν καὶ προσκυνεῖν.

Ἐγὼ μὲν οὖν οἶμαι ἱκανῶς δεδηλῶσθαι οἷον ἔρωτα συνεχώρησε Πλάτων

ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς.

κων ἀμφοτέρων,— οἷς ἔξεστι συγγίγνεσθαι, ᾧ ἂν ἐθέλωσι, — μὴ τρέφειν [1]).

Οὐδέν ἐστιν, ἐφ' ὅτῳ μᾶλλον διαβεβόηται ὁ φιλανθρωπότατος Πλάτων, ἢ τῷ νομοθετῆσαι ἀπανθρωπότατον ἔργον, τὴν ἄμβλωσιν καὶ εἰς θάνατον ἀπόθεσιν τῶν κακῶς γιγνομένων παιδίων· καὶ οἱ μέν, ὡς ἀναμφισβήτητον ὂν τὸ πρᾶγμα, καταχρῶνται ὅπου καὶ ὅπῃ ἑκάστῳ λυσιτελεῖν φαίνεται, οἱ δέ, ἐν οἷς Μοργενστέρνος, παντελῶς ἀπαλλάττουσι Πλάτωνα. Ἐγὼ γοῦν οὕτω διάκειμαι, ὥστε, ἅμα μὲν εὐλαβεῖσθαι μὴ οὐχ ὅσιον ᾖ οὕτω δεινὸν ἔργον ἀνδρὶ ὁσίῳ ἀκρίτως ἀποδιδόναι, ἅμα δέ, ἡγεῖσθαι ὅσιον εἶναι καὶ Πλάτωνος αὐτοῦ προτιμᾶν τὴν ἀλήθειαν. Φέρε δὴ ἐπισκεψώμεθα, πῶς ποτ' ἔχει τὸ πρᾶγμα. Δύο ἢ τρεῖς ῥήσεις ἐν τῇ Πολιτείᾳ εἰσὶν ὑποπτοι· σαφῶς γὰρ οὐδαμοῦ ἐξενήνεκται τὸ τοιοῦτον. Ὃν δὲ τούτου παρέχεται λόγον Σταλβώμιος [2]), Πλάτωνα αἰσχύνεσθαι περὶ οὕτως ἀπανθρώπου ἔργου σαφῶς λέγειν, ὀκνῶ ἀποδέξασθαι. Ἔστι γὰρ δὴ Πλάτωνος ἀξίωμα πολλαχοῦ τῶν συγγραμμάτων αὐτοῦ ἐξενηνεγμένον καὶ ἐν αὐτῇ δὴ τῇ Πολιτείᾳ σμικρὸν ἔμπροσθεν [3]), τὸ μὲν ὠφέλιμον εἶναι καλόν, τὸ δὲ βλαβερὸν αἰσχρόν. Εἰ δὴ Πλάτων τὴν πρᾶξιν ταύτην ὠφέλιμον ἡγεῖτο, ἀνάγκη καὶ καλήν, ἐπὶ δὲ τοῖς καλοῖς οὐδεὶς νοῦν ἔχων αἰσχύνεται. Πολλῷ μᾶλλον αἴτιόν μοι φαίνεται ὀλιγωρία τις ὡς παρέργου ὄντος. Ἐξετάσωμεν νῦν αὐτὰς τὰς ῥήσεις. «Δεῖ μὲν ἐκ τῶν ὡμολογημένων τοὺς ἀρίστους ταῖς ἀρίσταις συγγίγνεσθαι ὡς πλειστάκις, τοὺς δὲ φαυλοτάτους ταῖς φαυλοτάταις τοὐναντίον, καὶ τῶν μὲν τὰ ἔκγονα τρέφειν, τῶν δὲ μή, εἰ μέλλει τὸ ποίμνιον ὅ τι ἀκρότατον εἶναι· καὶ ταῦτα πάντα γιγνόμενα λανθάνειν, πλὴν αὐτοὺς τοὺς ἄρχοντας, εἰ αὖ ἡ ἀγέλη τῶν φυλάκων ὅ τι μάλιστα ἀστασίαστος ἔσται» [4])· καὶ μικρὸν προβάς, τὸ αὐτὸ πλατυτέρως λέγων «Τὰ μὲν δὴ τῶν ἀγαθῶν, φησί, λαβοῦσαι (αἱ ἀρχαὶ) εἰς τὸν σηκὸν οἴσουσι παρά τινας τροφούς. γωρὶς οἰκού-

1) Πλ. Πολ. Ε', 459 d—461 c.
2) Stallb. adnot. in Pl. Remp. Ε', 461 c.
3) Πλ. Πολ. Ε', 457 b.
4) Πλ. Πολ. Ε', 459 d.

σας ἔν τινι μέρει τῆς πόλεως· τὰ δὲ τῶν χειρόνων, καὶ ἐάν τι τῶν ἑτέρων ἀνάπτηρον γίγνηται, ἐν ἀπορρήτῳ τε καὶ ἀδήλῳ κατακρύψουσιν ὡς πρέπει»[1]). Ὅπερ οὖν ἐκεῖ εἶπε μὴ τρέφειν, ἐνταῦθα λέγει ἐν ἀπορρήτῳ καὶ ἀδήλῳ κατακρύπτειν ὡς πρέπει. Ἀλλὰ πῶς τὸ κατακρύπτειν τῷ ἀποκτείνειν ταὐτόσημόν ἐστιν, ἔγωγε οὐκ ἐννοῶ. Ὁμολογεῖ δέ μοι καὶ Κράμερος[2]). Τί μέντοι βούλεται Πλάτων διὰ τούτων τῶν ῥημάτων μάλιστα δηλῶσαι, ἐγὼ φράσω, ὅ μοι φαίνεται. Ἐν τοῖς φύλαξι πάντως ἐγγενήσονται καὶ κακοί· οὗτοι δὲ δῆλα δὴ ὅτι οὔτε συνίσασιν αὐτοὶ κακοὶ ὄντες· ἔστι γὰρ καὶ τοῦτο κακοῦ, τὸ μὴ γιγνώσκειν ἑαυτὸν κακὸν ὄντα· οὔτε τοὺς ἄρχοντας, καίπερ γιγνώσκοντας, φρόνιμόν ἐστιν αὐτοῖς τὴν κακίαν ἄντικρυς προφέρειν, διὰ τὸ ἀστασίαστον· οὗ δὴ χάριν καὶ ἡ κατὰ τὴν σύνερξιν ἀπάτη μεμηχάνηται. Τούτους οὖν, ἐν τοῖς ἀγαθοῖς καταλέγοντας ἑαυτούς, εἰκός, εἰ αἴσθοιντο τὰ ἑαυτῶν ἔκγονα εἰς τοὺς δημιουργοὺς ἐξωθούμενα, — τοῦτο γὰρ πείθομαι βούλεσθαι Πλάτωνα χρῆσθαι τοῖς τοιούτοις παιδίοις, δηλώσω δ' ἐν τοῖς ἑξῆς, — ἅπαντα ἐμπλῆσαι βοῆς καὶ ταραχῆς καὶ στάσεως· τὸ δ' αὖ ἀεὶ λανθάνειν οὐκ ἦν τῶν ῥᾳδίων. Τοῦτο δὴ συνορῶν Πλάτων καὶ δεδιὼς τὸν κίνδυνον, παραινεῖ τοὺς ἄρχοντας καὶ τὰς ἀρχούσας τούτου κυρίως φροντίζειν, ὅπως ὅ τι μάλιστα κατακρυβήσεται καὶ ἄδηλον γενήσεται τοῖς γονεῦσι τὸ τεχθέν, τί δὲ μετὰ τοῦτο ἔσται περὶ τὸ τέκνον τοῦτο, ἧττονος λόγου καὶ φροντίδος τό γε νῦν ἄξιον ἡγεῖται. Σημαίνει δὲ καὶ ἡ ἐπιφερομένη ῥῆσις τοῦ Γλαύκωνος «εἴπερ μέλλει καθαρὸν τὸ γένος τῶν φυλάκων ἔσεσθαι», ὅτι τοῖς φύλαξιν ἄχρηστά ἐστι τὰ τοιαῦτα ἔκγονα καὶ περὶ τούτου ἡ σπουδή, οὐ περὶ θανάτου αὐτῶν. Κοινὸν δὲ ποιεῖται τὸν λόγον Πλάτων καὶ περὶ τῶν ἀναπήρων. Ἐν δὴ ταύταις ταῖς ῥήσεσιν οὐδὲν περὶ θανάτου ἔνεστιν οὔτε τῶν τῶν κακῶν ἐκγόνων, οὔτε τῶν ἀναπήρων. Μεταβῶμεν νῦν ἐπὶ τὸ καιριώτατον χωρίον, τὸ περὶ τῶν ἐκγόνων τῶν ὑπερη-

---

1) Πλ. Πολ. Ε', 460 c.

2) Fried. Cramer «Gesch. d. Erzieh. im Altert. II S. 330. Anmerk.

λίκων· «καὶ ταῦτά γ' ἤδη πάντα, διακελευσάμενοι προθυμεῖσθαι μάλιστα μὲν μηδ' εἰς φῶς ἐκφέρειν κύημα μηδέν, ἐὰν γένηται, ἐὰν δέ τι βιάσηται, οὕτω τιθέναι, ὡς οὐκ οὔσης τροφῆς τῷ τοιούτῳ» [1]). Διὰ μὲν τοίνυν τοῦ πρώτου κώλου εἴ τις πείθεται αὐτὴν τὴν ἄμβλωσιν σημαίνεσθαι, ἤ τι τούτου ἐπιεικέστερον, —καὶ γὰρ ἂν καὶ ἄλλαι μηχαναὶ εἶεν εὐπροσωπότεραι, τῆς συλλήψεως κωλυτικαί—, οὕτω πεπείσθω, οὐδὲν ἔχω ἀντιλέγειν· οὐχ ὁμοίως δὲ καὶ τὸ ἑπόμενον προϊέναι δίκαιον· λογίζομαι δὲ ὧδε· τὸ μὲν ἀπεύχεσθαι Πλάτωνα τὴν ἀρχὴν μηδὲν γίγνεσθαι ὑπερηλίκων τέκνον, διὰ τὸ φύεσθαι ὡς ἐπὶ τὸ πολὺ ἀσθενικά, εἰκὸς καὶ πιθανόν, τὰ δὲ γενόμενα ἅπανθ' ἁπλῶς κελεύειν θανατοῦν, μηδὲν λογιζόμενον μηδὲ φροντίζοντα, εἴ πού τι αὐτῶν ἀγαθὸν τυγχάνει πεφυκός, ἀτοπώτατόν μοι φαίνεται· πολλὴν γὰρ ἂν καταγνοίη τις ἀμάθειαν Πλάτωνος πρὸς τῇ ἀπανθρωπίᾳ, εἰ ὑπολάβοι μὴ εἰδέναι αὐτὸν ὅτι καὶ ἐκ πρεσβυτῶν οὐ σπανίως ἐρρωμενέστατα φύεται τέκνα. Καὶ γὰρ οἱ Σπαρτιᾶται, ἀποτιθέντες τὰ ἀσθενικὰ τέκνα, οὐ διωρίζοντο τὰ ἀποθετέα τε καὶ μὴ τῇ τῶν γονέων ἡλικίᾳ, ἀλλὰ τῇ ἐπισκέψει, οἷον ἐφαίνετο ἕκαστον κατὰ ταύτην. Ἐκ μὲν δὴ τούτων οὐκ ἔχει λόγον ὑπολαμβάνειν ὅτι πάντα ἁπλῶς εἰς θάνατον ἀποτιθέναι διατάττει. Ὅτι δὲ οὐδὲ ἕν, τεκμαιρόμεθα ἔκ τε τοῦ μὴ διωρίσθαι τῷ λόγῳ καὶ ἐκ τούτου, ὅτι οὐδὲ ἀνάπηρον οὐδέν, καθ' ἃ προδέδεικται. Σκεψώμεθα δὲ καὶ τῇδε. Τοὺς μὲν ἄλλους κακοὺς ἐλπίζει λήσειν καὶ συνέργων ταῖς φαύλαις καὶ τὰ τέκνα αὐτῶν ἐξωθῶν τῶν φυλάκων, τοὺς δὲ ὑπερήλικας ἀδύνατον, ἢ οὐδ' ἂν ἔδει ὅρον τάξαι τοῦ χρόνου τῶν εἰς τὸ κοινὸν γεννήσεων. Πῶς οὖν οὗτοι εἰδότες ἀνέξονται ἀπολλυμένων τῶν σφετέρων τέκνων; καὶ ταῦτα διὰ μηδεμίαν κακίαν, διὰ δὲ γῆρας, ὃ τιμᾶν προσήκει; Οὐκ ἔστιν· ἀλλ', οἶμαι, ἠγάπα Πλάτων, εἰ ἔπειθεν αὐτοὺς μόνον μὴ ἀντέχεσθαι τοῦ δικαίου τῆς εἰς τοὺς φύλακας κατατάξεως τῶν σφετέρων τέκνων. Ἐμοὶ τοίνυν φαίνεται, ὥσπερ βουλόμενος Πλάτων τοῖς ὑπερήλιξιν οὑτωσὶ προαγορεύειν. «Ἢ ποιεῖτε, ὅπως μηδὲν τέκνον φύσετε, ἢ γεννηθὲν περιόψεσθε ἐξωθούμενον τῶν φυλάκων».

1) Πλ. Πολ. Ε', 461 c.

ἀδύνατον ἐκ τῶν ἐν ταῖς παιδιαῖς παρανομούντων ἐννόμους καὶ σπουδαίους ἄνδρας αὐξάνεσθαι[1]).

Πλὴν δὲ τῶν τοιούτων παιδιῶν ὀρέγονται φύσει οἱ παῖδες μύθων ἀκούειν περὶ τοιούτων πραγμάτων καὶ οὕτω λεγομένων, ἃ καὶ ὡς μάλιστα τοῖς τηλικούτοις πρόσφορα τυγχάνει. Ταῖς δὲ τροφοῖς παρὰ τοῖς ἀρχαίοις καὶ τοῦτο προσῆκε, μύθοις τέρπειν τοὺς παῖδας. Τοιούτων δ' οὐκ ἦν ἀπορία παντοδαπῶν· ἀλλ', ὡς εἰκός, καὶ οἱ παραδιδόντες καὶ οἱ παραλαμβάνοντες, μόνον τοῦ ἡδέος ἐστοχάζοντο, εἰ δέ τις ὠφέλεια ἢ βλάβη ἐκ τούτων γίγνοιτο, οὔτ' ἐφρόντιζον οὔτ' ἂν ἠδύναντο. Οὐχ οὕτως ἔδοξε Πλάτωνι· ἀλλ' ἀκριβέστατα ἐννοήσας τὴν δύναμιν τῆς πρώτης ψυχικῆς τροφῆς, ὅπερ ἐστὶ τὰ μυθολογούμενα τοῖς παιδίοις, πλεῖστον ἐσπούδασε περὶ τὴν διόρθωσιν καὶ ὑποτύπωσιν αὐτῶν. Νῦν οὖν ἐπιχειροῦντες περὶ τούτων τὰ προσήκοντα λέγειν, ἐμβαίνομεν εἰς τὴν πραγματείαν τοῦ ἑτέρου τῶν δύο κυρίων ἑλληνικῶν παιδευμάτων, ἃ καὶ Πλάτων παρεδέξατο, τῆς μουσικῆς.

Ἐν μὲν τῇ συνηθείᾳ ἐκαλεῖτο μουσικὴ πᾶν τὸ ὁπηδήποτε δυνάμενον ἅπτεσθαι ἐξ εὐθείας τῆς ψυχῆς καὶ παιδεύειν αὐτὴν πρὸς ἀρετήν. Λόγοι ἄρα καὶ μέλη καὶ ὄρχησις, καὶ τῶν λόγων οὐ μόνον ἡ ποίησις, ἀλλὰ καὶ οἱ χύδην, καὶ αἱ ἐπιστῆμαι δὲ αὐταί· καὶ γὰρ ταύτας ἐν παιδείας μέρει ἐποιοῦντο, δυναμένας τοὺς χρωμένους βελτίους ποιεῖν τὰ ἤθη καὶ τὴν διάνοιαν. Κατὰ ταύτην τὴν ἰδέαν ὀνομάζει καὶ Πλάτων τὴν φιλοσοφίαν μεγίστην μουσικήν[2]), ἅτε τὴν τελείαν ἀρετὴν ἐν τῇ ψυχῇ κατασκευάζουσαν, ἣν πολλαχοῦ Πλάτων ἁρμονίαν ὀνομάζει καὶ συμφωνίαν[3]). Οὐ μὴν ἀλλ' ἐν τῇ Πολιτείᾳ, καίπερ εὐλαβούμενός τι καινοτομεῖν περὶ τὰ καθιερωμένα ὑπὸ τοῦ μακροῦ χρόνου, ἀφορίζει αὐτῆς τὰς ἐπιστήμας. Ἴδοι δ' ἄν τις ἐνθένδε τὴν εὐλάβειαν αὐτοῦ. «Τίς οὖν ἡ παιδεία; ἢ χαλεπὸν εὑρεῖν βελτίω τῆς ὑπὸ τοῦ πολλοῦ χρόνου εὑρημένης;

---

1) Πλ. Πολ. Δ' 424 c.

2) Πλ. Φαῖδ 60 e—61 b.

3) Πλ. Πολ. Δ' 443 d—444 a. Η' 548 b· 554 c. Νόμ. Γ' 689 d, 691 a. 696 c. Δάχ. 188 c, d. Φαῖδ. 93.

ἔστι δέ που ἡ μὲν ἐπὶ σώμασι γυμναστική, ἡ δ' ἐπὶ ψυχῇ μουσική»[1]). Ὕστερον δέ· «Τί οὖν ἂν εἴη μάθημα ψυχῆς ὀλκὸν ἀπὸ τοῦ γιγνομένου ἐπὶ τὸ ὄν; . . . . ἆρα μουσική, ὅσην τὸ πρότερον διήλθομεν; Ἀλλ' ἦν ἐκείνη γε ἀντίστροφος τῆς γυμναστικῆς, ἔθεσι παιδεύουσα τοὺς φύλακας, κατά τε ἁρμονίαν εὐαρμοστίαν τινά, οὐκ ἐπιστήμην παραδιδοῦσα, καὶ κατὰ ῥυθμὸν εὐρυθμίαν, ἔν τε τοῖς λόγοις ἕτερα τούτων ἀδελφὰ ἄττα ἔχουσα καὶ ὅσοι μυθῳδεῖς τῶν λόγων καὶ ὅσοι ἀληθινώτεροι ἦσαν· μάθημα δὲ πρὸς τοιοῦτόν τι ἀγαθόν, οἷον σὺ νῦν ζητεῖς, οὐδὲν ἦν ἐν αὐτῇ»[2])· ἔνθα οὔπω ἀπηλλάχαται αἱ ἐπιστῆμαι τῆς μουσικῆς· τὸ γὰρ «ὅσην τὸ πρότερον διήλθομεν» δηλοῖ ὅτι καὶ ὅσην οὔπω διῆλθον, αἱ ἐπιστῆμαι δηλαδή, μουσική ἐστι. Καὶ τέλος δὴ προϊὼν λέγει· «Καὶ μὴν τί ἄλλο λείπεται μάθημα μουσικῆς καὶ γυμναστικῆς καὶ τῶν τεχνῶν κεχωρισμέννον;» Ἔθηκε δὴ ὡς τρίτον παίδευμα παρὰ τὴν μουσικὴν καὶ γυμναστικὴν τὰς ἐπιστήμας. Οἱ μέντοι πρῶτοι λόγοι καὶ μῦθοι, οἱ λεγόμενοι τοῖς παιδίοις ἅμα συνιεῖσι τὰ λεγόμενα, περιέχονται προδήλως ὑπὸ τῆς μουσικῆς.

Ὑποξενίζει δέ τι παρὰ Πλάτωνι ἡ διάρθρωσις τῶν δύο κυρίων παιδευμάτων πρὸς ἄλληλα. Τίθησι μὲν γὰρ ἀρχὴν τούτων, οὗ καὶ ἔμπροσθεν ἐπερανήσθημεν, ὅτι πᾶν νέον ζῶον τοῖς τε σώμασι καὶ ταῖς φωναῖς κινεῖσθαι ἀεὶ ζητεῖ καὶ φθέγγεσθαι· καὶ τὰ μὲν ἄλλα ζῶα οὐκ ἔχει αἴσθησιν τῶν ἐν ταῖς κινήσεσι τάξεων καὶ ἀταξιῶν, ἡμῖν δὲ δεδώκασιν οἱ θεοὶ τὴν ἔνρυθμόν τε καὶ ἐναρμόνιον αἴσθησιν μεθ' ἡδονῆς. Τὴν δὴ τοιαύτην κίνησιν τῆς τε φωνῆς καὶ τοῦ σώματος, τὸ σύνολον τῆς παιδείας, χορείαν ὀνομάζει, εἰδὴ δὲ αὐτῆς, τὴν μὲν τῆς φωνῆς κίνησιν, οὕτως ἐρρυθμισμέννην, ὥστε συμβάλλεσθαι πρὸς ἀρετὴν ψυχῆς, τὴν μουσικήν, τὴν δὲ τοῦ σώματος, μέχρι μὲν παιδιᾶς, ὄρχησιν, ἂν δὲ μέχρι τῆς τοῦ σώματος ἀρετῆς ἡ τοιαύτη κίνησις γίγνηται, τὴν ἔντεχνον ἀγωγὴν ἐπὶ τὸ τοιοῦτον αὐτοῦ γυμναστικὴν προσαγορεύει[3]).

1) Πλ. Πολ. Β' 376 e.
2) Πλ. Πολ. Ζ' 521 d. 522 a.
3) Πλ. Νόμ. Β' 673 a.

Τῆς δὲ μουσικῆς διαστέλλει δύο μέρη, ἓν μὲν λόγους καὶ μύθους μὴ ᾄδομένους, ἓν δὲ μέλη, τοῦτ' ἔστι λόγους μεθ' ἁρμονίας καὶ ῥυθμοῦ[2]). Λόγων δ' αὖ διττὸν εἶδος, τὸ μὲν ἀληθές, ψεῦδος δὲ ἕτερον. Ψευδεῖς δὲ λόγους λέγει τοὺς πεπλασμένους μύθους, οἷς τὸ πρῶτον δεῖ τρέφειν τὰς ψυχὰς τῶν παιδίων. Οὐ γὰρ ἁπλῶς ἀποδοκιμάζει Πλάτων τὸ ψεῦδος, ἀλλ' ὅσα τις κακῶς ψεύδεται, ἐμποιοῦντα ἐν τῇ ψυχῇ ἄγνοιαν τοῦ ἀληθῶς ὄντος. Ὅσα δὲ πρὸς τοῦ ὄντος τὴν θέαν τρέπει τὴν διάνοιαν καὶ κατὰ τοῦτο πλάττει τὸ ἦθος, ἄν τε γεγονότα τυγχάνῃ, ἄν τε μή, ἀκούειν προσήκει τοὺς παῖδας, μᾶλλον δὲ τὰ πεπλασμένα. Ἐν γὰρ τοῖς τοιούτοις τὸ ψεῦδος (die dichterische Umhüllung) αὐτὸ μὲν καθ' ἑαυτὸ οὔτ' ὠφελεῖ οὔτε βλάπτει, ἔστι μέντοι οἷον ἡδυσμά τι τῆς ὑγιοῦς τροφῆς, τῆς ἀληθείας, ἣν αἱ ψυχαὶ τῶν νέων, διὰ τὸ σπουδαῖον αὐτῆς, ψιλὴν οὕτως οὐ δύνανται φέρειν, καθάπερ καὶ τῶν σιτίων τὰ χρηστά, ἔχοντα ὡς ἔτυχεν, οὐ πάνυ εὐόρεκτα ὄντα οὐδ' εὔπεπτα, ποιοῦμεν ἀρτύμασι καὶ παντοδαπῇ παρασκευῇ[1]).

Ὑφηγεῖται δ' ἡμῖν Πλάτων τοὺς τύπους, ἐν οἷς δεῖ τοὺς μύθους ποιεῖν, ἢ καθ' οὓς τοὺς πεποιημένους κρίνειν· τοὺς δ' ἐγκριθέντας βούλεται ἀναγκάζειν τροφοὺς καὶ μητέρας λέγειν τοῖς παισί.

Πρῶτον μὲν οὖν περὶ θεούς, μὴ πλάττειν ἀδικίας αὐτῶν καὶ ἐπιβουλὰς καὶ τέκνων βρώσεις καὶ πατέρων τιμωρίας, καὶ ἔχθρας, καὶ θεομαχίας, οἷα Ἡσίοδος καὶ Ὅμηρος ἐψεύσαντο περὶ Οὐρανοῦ καὶ Κρόνου καὶ Γιγάντων, μηδὲ διηγεῖσθαι τοῖς παισί, μήτ' ἐν ὑπονοίαις πεποιημένα, μήτε ἄνευ ὑπονοιῶν. Ὁ γὰρ νέος οὐχ οἷός τε κρίνειν ὅ τί τε ὑπόνοια καὶ ὅ τι μή, ἀλλ' ἃ ἂν τηλικοῦτος ὢν λάβῃ ἐν ταῖς δόξαις δυσέκνιπτά τε καὶ ἀμετάστατα φιλεῖ γίγνεσθαι. Ἀλλ' ἀποδιδόναι τῷ λόγῳ, οἷος τυγχάνει ὁ θεὸς ὤν. Ἔστι δὲ τῷ ὄντι ἀγαθός. Τοιοῦτος δ' ὢν οὔτ' ἂν αὐτὸς κακὸν ποιοῖ, οὔτ' ἂν ἄλλοις αἴτιος κακοῦ γίγνοιτο. Οὔκουν πάντων ἂν εἴη αἴτιος ὁ θεός, ἀλλὰ τῶν μὲν ἀγαθῶν αἴτιος, τῶν δὲ κακῶν

2) Πλ. Πολ. Γ′ 398 c.

1) Πλ. Νόμ. Β′ 659 c, 660 a.

ἄλλα ζητητέον τὰ αἴτια. Εἰ δέ τινες κακῶς πράττουσι, λεκτέον ὡς κακοὺς ὄντας ὁ μὲν θεὸς δίκαια καὶ ἀγαθὰ ἐργαζόμενος κολάζει, οἱ δὲ δίκην διδόντες ὠφελοῦνται ὑπὸ τοῦ θεοῦ[1]).

Ἔπειτα δὲ μὴ πλάττειν τὸν θεὸν μήτε αὐτὸν γόητα, φανταζόμενον ἄλλοτ' ἐν ἄλλαις ἰδέαις[2]), μήτε ἡμᾶς ψεύδεσι παράγοντα· οὐ γὰρ ἀληθῆ. Ἀνάγκη γάρ, εἴ περ τι ἐξίσταιτο τῆς ἑαυτοῦ ἰδέας, ἢ ἐν ἑαυτῷ ἔχειν τὴν αἰτίαν, ἢ ἔξωθεν. Ἀλλ' ἔξωθεν ἀδύνατον· τὰ γὰρ ἄριστα ἔχοντα ἥκιστα ὑπ' ἄλλου ἀλλοιοῦταί τε καὶ κινεῖται· ὁ δὲ θεὸς καὶ τὰ τοῦ θεοῦ πάντῃ ἄριστα ἔχει. Αὐτὸν δὲ ἑαυτὸν μεταβάλλειν τὸν θεὸν καὶ τοῦτο ἀδύνατον. Ἀνάγκη γὰρ ἢ ἐπὶ τὸ βέλτιον ἢ ἐπὶ τὸ χεῖρον ἑαυτὸν μεταβάλλειν. Ἀλλ' ἐπὶ τὸ βέλτιον ἀδύνατον· οὐ γὰρ ἔστι τι τοῦ ἀρίστου πρεσβύτερον ἀρετῇ· ἐπὶ δὲ τὸ χεῖρον οὐδεὶς ἑκὼν μεταβάλλει ἑαυτόν. Οὐδαμῶς ἄρα ὁ θεὸς ἀλλοιοῦται. Τὸ δὲ αὐτὸν μὲν μὴ ἀλλοιοῦσθαι, ἡμῖν δὲ ποιεῖν ἑαυτὸν δοκεῖν παντοδαπὸν φαίνεσθαι, ψεῦδος ὂν καὶ ἀπάτη, ἀνάρμοστόν ἐστι θεοῦ κατηγορεῖν[3]).

Τοιαῦτα μὲν δὴ περὶ θεοὺς ἀκουστέον τε καὶ οὐκ ἀκουστέον τοὺς παῖδας, εἰ μέλλουσι θεούς τε τιμᾶν καὶ γονέας καὶ τὴν ἀλλήλων φιλίαν μὴ περὶ σμικροῦ ποιεῖσθαι. Εἰ δὲ μέλλουσιν ἀνδρεῖοι εἶναι καὶ προτιμᾶν καλὸν θάνατον αἰσχροῦ βίου, ἀνάγκη μὴ πλάττειν τὰ ἐν Ἅιδου οὕτω δεινά, οἷα Ὁμήρῳ καὶ ἄλλοις ποιηταῖς πέπλασται[4]), μηδὲ ποιεῖν τοὺς παῖδας φρίττειν ἀκούοντας Κωκυτοὺς καὶ Στύγας καὶ ἐνέρους καὶ ἀλίβαντας καὶ τὰ τούτοις παραπλήσια, πᾶν δὲ τοὐναντίον.

Ἀνδρείας δ' ἐστὶ καὶ μάλιστ' ἀνδρὶ προσῆκον τὸ κατέχειν ἑαυτὸν ἔν τε δεινοῖς, ὥστε μὴ θρηνεῖν καὶ ὀδύρεσθαι, ἔν τε τερπνοῖς, ὥστε μὴ ἐνδιδόναι ἰσχυρῷ γέλωτι, αἰσχύνεσθαι δὲ ἐπὶ τοῖς τοιούτοις καὶ ὅλως στάσιμον καὶ δυσμετάπτωτον εἶναι ἐπὶ θάτερα. Καὶ τοὺς τροφίμους ἄρα οὔτε ἀκούειν χρὴ τοιοῦτόν τι

---

1) Πλ. Πολ Β' 377 – 380.
2) Ὁμηρ. Ὀδ. ρ 485.
3) Πλ. Πολ. Β' 380—383.
4) Ὁμ. Ὀδ. λ 488. ω 6—9. Ἰλ. Υ 64. Ψ 103. Ὀδ. κ 495.

σπουδῇ, οἷα πολλὰ παρ' Ὁμήρῳ ἔστιν εὑρεῖν[1]), οὔτε, ἐπιὸν αὐτοῖς τοιοῦτον ἢ λέγειν ἢ ποιεῖν, συγγιγνώσκειν[2]). Ταῦτα μέντοι ἔστιν οἳ μέμφονται Πλάτωνος, ὡς οὔτε καλὸν οὔτε θεάρεστον ὂν τὸ δυσπαθῆ εἶναι, τὸ δὲ ἐναντίον θεοπρεπέστερον, καὶ μετὰ τούτων δηλαδὴ καὶ Περίκλειον ἦθος καὶ Σωκράτους τρόπον τῆς τελευτῆς καὶ Φωκίωνος βίον καὶ θάνατον καὶ ὅσοις ἄλλοις τοῦ αὐτοῦ γένους ἡ ἀνθρωπίνη ἱστορία κεκόσμηται. Ἀλλ' ἕκαστος τῷ οἰκείῳ μέτρῳ μετρῶν, ἄλλοτ' ἄλλῳ ὄντι, ἄλλοτ' ἄλλως ἔχον φανεῖ τὸ αὐτὸ πρᾶγμα· τὸ δὲ Πλάτωνος μέτρον ἁπλοῦν ἐστι καὶ ἀεὶ ὡσαύτως ἔχον, ὥσπερ καὶ τἀληθές.

Καὶ ἀλήθειαν δέ γε περὶ πολλοῦ ποιητέον. Ἀλήθεια γὰρ πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται, πάντων δὲ ἀνθρώποις· ἧς ὁ γενήσεσθαι μέλλων μακάριος καὶ εὐδαίμων ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἴη, ἵνα ὡς πλεῖστον χρόνον ἀληθὴς ὢν διαβιοῖ[3]). Τὸ δὲ ψεῦδος, ὥσπερ εἴρηται, χρήσιμον μέν ἐστιν ὡς ἐν ἀρτύματος εἴδει καὶ πρὸς ὠφέλειαν, οὐ μὴν παντὶ χρηστέον τούτῳ, ἀλλὰ τοῖς ἄρχουσιν ἐπ' ὠφελείᾳ τῶν ἀρχομένων. Ψέγειν ἄρα δεῖ, εἴ τίς τι δολοφρονέων λέγει ἀνθρώπων, περὶ δὲ θεῶν μηδὲ λέγειν τὸ παράπαν[4]).

Καὶ μὴν καὶ σωφροσύνης, εἴπερ τινὸς καὶ ἄλλου, δεῖ τοῖς νέοις. Σωφροσύνης δὲ τὰ τοιάδε μέγιστα, ἀρχόντων μὲν ὑπηκόους εἶναι, αὐτοὺς δὲ ἄρχοντας τῶν περὶ πότους καὶ ἀφροδίσια καὶ περὶ ἐδωδὰς ἡδονῶν. Ὅσα δὴ παρ' Ὁμήρῳ καὶ τοῖς ἄλλοις ποιηταῖς εὕρηται, ἢ θρασύτητες ἰδιωτῶν πρὸς ἄρχοντας[5]), ἢ ἐγκώμια εὐωχίας καὶ θοίνης[6]) καὶ ἔρωτες ἀθέμιτοι[7]) καὶ ἀκράτειαι[8]) καὶ δωροδοκίαι καὶ αἰσχροκέρδειαι θεῶν τε καὶ ἀνθρώπων καὶ τὰ τοιαῦτα, ἄν τε ἀληθῆ, ἄν τε μή, τυγχάνῃ ὄντα, οὐκ ἐπιτήδεια νέοις ἀκούειν.

---

1) Ὅμ. Ἰλ. Ω 10, κ. ἑξ. Χ 168. 414. Σ 54, Π 433. Α 599.
2) Πλ. Πολ. Γ' 386—389
3) Πλ. Νόμ. Ε', 730 c.
4) Πλ. Πολ. Γ', 389 b, d.
5) Ὅμ. Ἰλ. Α, 225.
6) Ὅμ. Ὀδ. ι, 342.
7) Ὅμ. Ὀδ. θ, 266 κ. ἑξ.
8) Ὅμ. Ἰλ. Ξ 293 κ. ἑξ.

Τέλος δὲ δὴ δεῖ μηδαμῶς χωρίζειν δικαιοσύνην εὐδαιμονίας, διδάσκοντας, ὡς εἰσί τινες ἄδικοι μέν, εὐδαίμονες δέ, καὶ τἀνάπαλιν, καὶ ὡς λυσιτελεῖ τὸ ἀδικεῖν, ἐὰν λανθάνῃ. Οὔτε γὰρ συμφέρει τοιαῦτα ἀκούειν τοὺς νέους, ἀλλ' οὐδέ γε ἀληθῆ ἐστι[1]). Τοῦτο δὲ ἵνα δῆλον γένηται, διηγήσεως δεῖ. Ὅτι μὲν πᾶσιν ἀνθρώποις ἔνεστι φύσει ὄρεξις εὐδαιμονίας, δῆλον. Πλάτων δὲ εἰωθότως αὐτῷ οὐδὲν τῶν φύσει ὑπαρχόντων ἀπόβλητον ἡγεῖται, ζητεῖ δ' ἀεὶ τὴν ἀρίστην αὐτοῦ ἕξιν ἀποφῆναι. Καὶ δὴ καὶ τῆς τῆς εὐδαιμονίας ὀρέξεως ἔχει λόγον καὶ οὐδὲν ὀκνεῖ κατὰ τὴν δόξαν τῶν πολλῶν τέλος τοῦ ἀνθρωπίνου βίου ἀποφῆναι[2]). Ἀλλὰ μὴν εὐδαίμονές ἐσμεν κτήσει ἀγαθῶν· καὶ μέχρι μὲν τοῦδε πάντες ὁμολογοῦσιν ἀλλήλοις, τίνα δ' ἐστὶν ὄντως ἀγαθὰ καὶ τούτων ποῖα τὰ μέγιστα καὶ κυριώτατα, οὐδαμῶς. Τὰ μὲν οὖν τοῖς παλαιοῖς δοκοῦντα ἀγαθὰ καὶ τὴν τάξιν αὐτῶν παρίστησι τὸ γνωστὸν σκόλιον τόδε·

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ·
Δεύτερον δὲ φυὰν καλὸν γενέσθαι·
Τὸ δὲ τρίτον πλουτεῖν ἀδόλως·
Καὶ τὸ τέταρτον ἡβᾶν μετὰ φίλων.

Πλάτων μέντοι ἄλλην ἔχει γνώμην περὶ τῶν ἀγαθῶν. Διττά, φησίν, ἐστὶν ἀγαθά, τὰ μὲν θεῖα, τὰ δὲ ἀνθρώπινα· καὶ θεῖα μὲν λέγει αὐτὰς τὰς ἔμπροσθεν καταλεχθείσας ἀρετάς, φρόνησιν καὶ ἀνδρείαν καὶ σωφροσύνην καὶ δικαιοσύνην· ἀνθρώπινα δὲ τὰ αὐτὰ σχεδὸν τοῖς πολλοῖς, ὑγίειαν καὶ κάλλος καὶ ἰσχὺν σώματος καὶ πλοῦτον οὐ τυφλόν, ἀλλ' ὀξὺ βλέποντα, ἄν περ ἅμα φρονήσει ἕπηται. «Ἥρτηται δ' ἐκ τῶν θείων θάτερα, καὶ ἂν μὲν δέχηταί τις τὰ μείζονα, κτᾶται καὶ τὰ ἐλάττονα, εἰ δὲ μή, στέρεται ἀμφοῖν»[3]). Οὗ οὐκ ἂν εὕροις ῥᾳδίως ἀληθέστερον ἄλλο, ἀλλ' οὐδέ γε μᾶλλον ἀγνοούμενον ὑφ' ἡμῶν.

Καὶ μὴν καὶ ἡδονὴν εἰκὸς εὐδαιμονίᾳ προσεῖναι· καὶ δικαιοσύνῃ ἄρα. Εἰ δ' οὕτως ἔχει, σκεπτέον.

---

1) Πλ. Πολ. Γ', 392 a, b.
2) Πλ. Συμπ. 204 e. Εὐθύδ. 278 e κ. ἑξ.
3) Πλ. Νόμ. Α', 631 b, c.

Πρῶτον μὲν εἰδέναι χρὴ ὅτι ἕκαστον τῶν τριῶν γενῶν τῆς ψυχῆς ἔχει οἰκείαν ὁρμήν, τὸ μὲν λογιστικὸν πρὸς τὸ μανθάνειν, τὸ δὲ θυμοειδὲς πρὸς τιμὴν καὶ εὐδοξίαν, τὸ δὲ ἐπιθυμητικὸν πρὸς πολλά τινα, διότι δὲ διὰ χρημάτων μάλιστα ἀποτελεῖται ταῦτα, ἐν κεφαλαίῳ εἰπεῖν, πρὸς χρήματα. Ταύτῃ δὴ καλεῖ Πλάτων τὸ μὲν φιλομαθὲς καὶ φιλόσοφον, τὸ δὲ φιλόνεικον καὶ φιλότιμον, τὸ δὲ φιλοκερδὲς καὶ φιλοχρήματον. Καὶ ἡδοναὶ δὴ τριτταί εἰσιν, ἑνὸς ἑκάστου μία ἰδία, πληρουμένης δηλαδὴ τῆς ἐπιθυμίας. Εἰ τοίνυν τρεῖς τοιούτους ἀνθρώπους, ὧν ἓν τούτων μάλιστα κρατεῖ, ἄλλῳ ἄλλο, ἐν μέρει ἕκαστον ἀνερωτῶμεν, τίς τούτων τῶν βίων ἥδιστος, δῆλον ὅτι τὸν ἑαυτοῦ ἕκαστος ἐγκωμιάσεται· ὁ μὲν χρηματιστικὸς πρὸς τὸ κερδαίνειν καὶ ἀπολαύειν τὴν τοῦ τιμᾶσθαι ἡδονὴν ἢ τὴν τοῦ μανθάνειν οὐδενὸς ἀξίαν φήσει εἶναι, πλὴν εἴ τι αὐτῶν ἀργύριον ποιεῖ· ὁ δὲ φιλότιμος τὴν μὲν ἀπὸ τῶν χρημάτων ἡδονὴν φορτικήν τινα ἡγεῖται, καὶ αὖ τὴν ἀπὸ τοῦ μανθάνειν, ὅτι μὴ μάθημα τιμὴν φέρει, καπνὸν καὶ φλυαρίαν· ὁ δε φιλόσοφος οἶδε μὲν καὶ τίθησι καὶ τὰς ἄλλας ἡδονὰς ἡδονὰς εἶναι· καὶ γὰρ αὐτὸς τούτων γεύεται, ὅσαι ἀναγκαῖαι καὶ θεμιταί· βελτίστην μέντοι καὶ ἀληθεστάτην καὶ βεβαιοτάτην τὴν ἀπὸ τοῦ μανθάνειν ἡγεῖται. Τίς οὖν τούτων ἀληθέστατα λέγει; σκεπτέον. Πᾶν, ὃ ἂν μέλλῃ καλῶς κριθήσεσθαι, ἐμπειρίᾳ καὶ φρονήσει καὶ λόγῳ χρὴ κρίνεσθαι. Ἀλλ' ὁ μὲν χρηματιστικὸς μόνον τῆς ἀπὸ τοῦ κερδαίνειν ἡδονῆς ἐμπειρότατός ἐστι, τῆς δὲ ἀπὸ τοῦ τιμᾶσθαι ἧττον, τῆς δὲ ἀπὸ τοῦ μανθάνειν οὐδαμῶς· ἀχρεῖος ἄρα κριτὴς ἂν εἴη. Ὁ δὲ φιλότιμος τῆς μὲν ἀπὸ τοῦ τιμᾶσθαι μάλιστα, τῆς δὲ ἀπὸ τοῦ κερδαίνειν καὶ τῶν εὐπαθειῶν ἧττον, τῆς δ' ἀπὸ τοῦ μανθάνειν ἥκιστα· καὶ οὗτος ἄρα ἀδέξιος κριτής. Ὁ δὲ φιλόσοφος καὶ τῶν τριῶν ἔμπειρος· ἀνάγκη γὰρ αὐτῷ ἐκ παιδὸς ἀρξαμένῳ γεύεσθαι τούτων. Περὶ μὲν οὖν ἐμπειρίας οὕτως. Ἔφαμεν δὲ χρῆναι ἔτι κρίνεσθαι φρονήσει καὶ λόγῳ· ταῦτα δὲ τῷ φιλοσόφῳ μάλιστα οἰκεῖά ἐστιν. Ἡ τοῦ φιλοσόφου ἄρα κρίσις ἀληθεστάτη ἂν εἴη καὶ κυρία[1]).

1) Πλ. Πολ. Θ', 580 d—583 α.

Ἔτι δὲ οὐδ' ἀληθεῖς εἰσιν αἱ διὰ τοῦ σώματος ἡδοναί, αἱ μέγισται νομιζόμεναι, ἀλλ' ἐσκιαγραφημέναι, οὐδ' ἄξιον ἡδονὰς καλεῖν, ἀλλ' ὀρθότερον λυπῶν παύλας. Ἔστι γὰρ λύπη ἡδονῆς ἐναντίον καὶ μεταξὺ αὐτῶν τὸ μήτε χαίρειν μήτε λυπεῖσθαι, ἡσυχία τις περὶ ταῦτα τῆς ψυχῆς. Τοιοῦτον δ' ἐστὶ καὶ ὑγίεια τῷ ὑγιαίνοντι. Ἀλλ' οἱ κάμνοντες οἴονται μηδὲν εἶναι ὑγιείας ἥδιον, καὶ ῥαΐζοντες χαίρουσι μᾶλλον τῶν ὑγιαινόντων. Οὗτοι γὰρ τούτου γε ἕνεκα ἡσυχίαν ἄγουσιν. Εἰ οὖν τις τὴν ἐκ τοῦ ὑγιάζεσθαι ἡδονὴν περὶ πλείστου ποιεῖται, ἀναγκαῖον προκατασκευάζειν ἑαυτῷ νόσους, ἵνα τούτων ἀπαλλαττόμενος ἥδηται. Ὅμοιον δὴ συμβαίνει καὶ τοῖς τὰς ἄλλας ἡδονὰς ἐν μεγίστῳ τιθεμένοις. Τοῖς οὖν ταύτας θηρεύουσιν ἀναγκαῖον λύπας σρίσιν αὐτοῖς προκατασκευάζειν. Καὶ, ὡς ἔοικε, Πλάτωνι βοηθοῦντες οἱ ἐπὶ τῶν Καισάρων διεφθαρμένοι Ῥωμαῖοι ἐνεδείξαντο ἔργῳ τὴν ἀλήθειαν ταύτην. Ἐπεὶ γὰρ κορέσαιντο βρωμάτων, εἶτα ἐξήμουν αὐτὰ ἐπίτηδες, ἵνα ἐγείροντες τὴν ἐκ τῆς πείνης λύπην, ἥδοιντο πάλιν ἐσθίοντες· ὡς οὔσης δηλαδὴ τῆς ἡδονῆς ἐν τῷ τῆς λύπης ἀπαλλάττεσθαι· παυομένης δὲ τῆς λύπης συμπαύεται καὶ ἡ ἡδονή. Ἀλλ' αὕτη οὐκ ἔστι καθαρὰ ἡδονὴ ἡ λύπῃ μεμιγμένη, ἀλλ' ἡ ἡσυχίαν ἀγούσης τῆς ψυχῆς ἐπιγιγνομένη. Τοιαύτη δὲ ἡ ἐκ τοῦ μανθάνειν καὶ θεωρεῖν. Καὶ τῆς εἰλικρινεστάτης ἄρα καὶ ἐνδελεχεστάτης ἡδονῆς ἂν γεύοιτο ὁ σοφός[1])· ὁ αὐτὸς δ' ἐστὶ καὶ ὁ δίκαιος κατὰ Πλάτωνα· ἄνευ γὰρ τῶν ἄλλων ἀρετῶν οὐκ ἔστι σοφόν τινα εἶναι.

Περὶ δὲ τῶν παρ' ἀνθρώπων τιμῶν, εἰ μὴ ἐν τῷ παραχρῆμα, πρός γε τὸ τέλος τοῦ βίου γενόμενον, ἐπειδὰν ἀναλάμψῃ τὸ τῆς δικαιοσύνης κάλλος, εἰκὸς εὐδοκιμεῖν τε καὶ τὰ ἆθλα φέρεσθαι τὸν δίκαιον.

Καὶ μὴν ὑπό γε θεοῦ οὐδέποτε ἀμελεῖται ὁ δίκαιος, ὃς προθυμεῖται ὁμοιοῦσθαι αὐτῷ, ἀλλ' ἐάν τε ἐν πενίᾳ γίγνηται, ἐάν τε ἐν νόσοις ἤ τινι ἄλλῳ τῶν δοκούντων κακῶν, ὑπολητέον, ὡς τούτῳ ταῦτα εἰς ἀγαθὸν τελευτήσει ζῶντι ἢ καὶ ἀποθανόντι[2]).

---

1) Πλ. Πολ. Θ', 583 b—587.

2) Πλ. Πολ. Γ', 612 b—614 κ. ἑξ.

Πάντως ἄρα ὁ δικαίως βιῶν εὐδαιμονέστατα καὶ ἥδιστα βιοῖ ἐνθάδε τε καὶ μεταλλάξας[1])· καὶ ταῦτα χρὴ καὶ λέγειν τοῖς παισίν.

Τοὺς μὲν δὴ τύπους τῶν λόγων, οἵους τε λεκτέον καὶ μή, διήλθομεν. Περὶ δὲ τῆς λέξεως, ὡς χρὴ ταῦτα λέγειν, τοιάδε διετύπωσε Πλάτων. Πᾶσα ποίησις, καὶ χύδην δὲ λόγος ἐξενηνεγμένος, ὁ μὲν διὰ μιμήσεως ὅλος ἐστίν, ὥςπερ τὸ δρᾶμα, ὁ δὲ δι' ἀπαγγελίας αὐτοῦ τοῦ ποιητοῦ, οἷον ἡ μελικὴ ποίησις, ὁ δὲ ἐξ ἀμφοτέρων μικτός, οἷον τὸ ἔπος. Καὶ εἰ δέοι ἡδονῇ κρίνεσθαι παρὰ τῷ ὄχλῳ τοὺς τρεῖς τούτους τῆς λέξεως τύπους, φέροι ἂν τὰ πρῶτα ὁ διὰ μιμήσεως τὸ πᾶν περαίνων, τὸ δρᾶμα, τὰ δεύτερα δὲ ὁ κεκραμένος, καὶ ὕστερος ἡδονῇ γίγνεται ὁ ἄνευ μιμήσεως· ὅλως δὲ εἰπεῖν, ἡ μίμησις τέρπει μᾶλλον τῆς ἁπλῆς ἀπαγγελίας. Ἀλλ' οὐ περὶ τοῦ ἡδίστου ἡ σπουδή, περὶ δὲ τοῦ ἀρίστου καὶ ὠφελιμωτάτου τοῖς πολίταις. Ὅπου μὲν οὖν ἡ μίμησις ἡδεῖα οὖσα καὶ ὠφέλιμος ἅμα ἐστί, κέρδος ἂν εἴη, ὅπου δὲ ἐκεῖνο μόνον ὑπάρχει, μέγας κίνδυνος ἐπικρέμαται. Αἱ γὰρ μιμήσεις, ἐὰν ἐκ νέων πόῤῥω διατελέσωσιν, εἰς ἕθη τε καὶ φύσιν καθίστανται καὶ κατὰ σῶμα καὶ φωνὰς καὶ κατὰ τὴν διάνοιαν, αἱ μὲν ἀγαθαὶ δηλαδὴ εἰς ἀγαθά, αἱ δὲ ἐναντίαι εἰς τἀναντία. Οὐ δὴ σμικρὸν διαφέρει τὸ τοιάδε ἢ τοιάδε εἶναι τὰ μιμήματα, ἀλλὰ κἂν ἀσφαλῆ γένοιτο ταῦτα τεκμήρια ἤθους σπουδαίου καὶ μή. Ὁ μὲν γὰρ σπουδαῖος, ἐπειδὰν ἀφίκηται ἐν τῇ διηγήσει ἐπὶ λέξιν τινὰ καὶ πρᾶξιν ἀνδρὸς ἀγαθοῦ, ἐθελήσει ὡς αὐτὸς ὢν ἐκεῖνος ἀπαγγέλλειν καὶ οὐκ αἰσχυνεῖται ἐπὶ τῇ τοιαύτῃ μιμήσει, μάλιστα μὲν μιμούμενος τὸν ἀγαθὸν ἀσφαλῶς τε καὶ ἐμφρόνως πράττοντα, ἐλάττω δὲ καὶ ἧττον ἢ ὑπὸ νόσων ἢ ὑπὸ ἐρώτων ἐσφαλμένον ἢ καὶ ὑπὸ μέθης ἤ τινος ἄλλης ξυμφορᾶς· ὅταν δὲ γίγνηται κατά τινα ἑαυτοῦ ἀνάξιον, οὐκ ἐθελήσει σπουδῇ ἀπεικάζειν ἑαυτὸν τῷ χείρονι, εἰ μὴ ἄρα κατὰ βραχύ, ὅταν τι χρηστὸν ποιῇ, ἀλλ' αἰσχυνεῖται ἅμα μὲν ἀγύμναστος ὢν τοῦ μιμεῖσθαι τοὺς τοιούτους, ἅμα δὲ καὶ δυσχεραίνων ἑαυτὸν ἐκμάττειν τε καὶ ἐνιστάναι εἰς τοὺς τῶν κακιόνων τύπους, ἀτιμάζων τῇ διανοίᾳ. Ὁ δὲ κακὸς αὖ, ὅσῳ ἂν

1) Πλ. Νόμ. Β', 660 e.—663 e.

φαυλότερος ᾖ, πάντα τε μᾶλλον διηγήσεται, καὶ οὐδὲν ἑαυτοῦ ἀνάξιον οἰήσεται εἶναι, σπουδῇ τε καὶ ἐναντίον πολλῶν, καὶ δὴ καὶ βροντὰς καὶ ψόφους ἀνέμων τε καὶ χαλαζῶν καὶ ἀξόνων καὶ τροχιλίων καὶ σαλπίγγων καὶ πάντων ὀργάνων φωνάς, καὶ ἔτι κυνῶν καὶ προβάτων καὶ ὀρνέων φθόγγους. Ἔστι δὴ τὸ μὲν εἶδος τῆς λέξεως τοῦ σπουδαίου ἀνδρός, ἀπολαβὸν καὶ τὴν προσήκουσαν ἁρμονίαν καὶ ῥυθμόν, τὸ μέλος, ἅτε ἥκιστα μετέχον μιμήσεως, τοῦ δὲ φαύλου ἡ παντοδαπὴ ἄλλη ποίησις[1]), ἣν ἐξορίζει Πλάτων τῆς ἑαυτοῦ πόλεως. Φαίνεται δὲ διαφέρειν τούτοις τὰ ἐν τοῖς Νόμοις. Ἐκεῖ γὰρ συγχωρεῖ καὶ ἀναγκαῖον δὴ νομίζει θεᾶσθαι καὶ γνωρίζειν μιμήματα αἰσχρῶν σωμάτων καὶ διανοημάτων κατὰ λέξιν τε καὶ ᾠδὴν καὶ ὄρχησιν κεκωμῳδημένα· ἄνευ γὰρ γελοίων τὰ σπουδαῖα καὶ πάντων τῶν ἐναντίων τὰ ἐναντία μαθεῖν μὲν οὐ δυνατόν, εἰ μέλλει τις φρόνιμος ἔσεσθαι[2]), ποιεῖν δὲ οὐκ ἂν δύναιτο ἀμφότερα, εἴ τις αὖ μέλλει καὶ σμικρὸν ἀρετῆς μεθέξειν, ἀλλ' αὐτῶν ἕνεκα τούτων καὶ μανθάνειν αὐτὰ δεῖ, τοῦ μήποτε δι' ἄγνοιαν δρᾶν ἢ λέγειν ὅσα γελοῖα, μηδὲν δέον· δούλοις δὲ τὰ τοιαῦτα καὶ ξένοις ἐμμίσθοις προστάττειν μιμεῖσθαι[3]), σπουδὴν δὲ περὶ αὐτὰ εἶναι μηδέποτε μηδ' ἡντινοῦν, μηδέ τινα μανθάνοντα αὐτὰ γίγνεσθαι φανερὸν τῶν ἐλευθέρων, μήτε γυναῖκα μήτ' ἄνδρα[4]). Ἀλλ' ἐκ τούτων τοῦτο πάρεστι μαθεῖν, ὅτι μέγα παραλλάττει αὐτόν τινα μιμεῖσθαί τι τῶν φαύλων μιμημάτων ἢ ἄλλων μιμουμένων θεᾶσθαι καὶ γνωρίζειν. Ὥστε ἀπορήσειεν ἄν τις, πότερον ὅλως ἀπεῖπε Πλάτων ἐν τῇ Πολιτείᾳ μηδὲ τὸ παράπαν θεᾶσθαι καὶ γνωρίζειν φαῦλα μιμήματα, ὡς βλαβερὸν ὄν, ἢ μᾶλλον ἀπορίᾳ τῶν μιμησομένων — δούλους γὰρ καὶ ξένους οὐ χωρεῖ ἡ τελεία πόλις Πλάτωνος — ἀχρηστία τούτων κατ' ἀνάγκην γίγνεται. Καὶ γὰρ ἐκεῖ φησι· «Γνωστέον μὲν γὰρ καὶ μαινομένους καὶ πονηροὺς ἄνδρας τε καὶ γυναῖκας, ποιητέον δὲ

---

1) Πλ. Πολ. Γ', 392 c — 398 b.
2) Πλ. Νόμ. Γ', 678 a, b.
3) Οἷον ἐλέγοντο ποιεῖν οἱ Σπαρτιᾶται, μεθύσκοντες τοὺς Εἵλωτας.
4) Πλ. Νόμ. Ζ', 816 d—e.

οὐδὲν τούτων οὐδὲ μιμητέον[1]). Ἔτι δὲ ἐκ τῶν δύο λόγων, καθ' οὓς ἀπαγορεύει τὴν μίμησιν τῶν φαύλων, τοῦ μὴ οἷόν τ' εἶναι ἕνα τὸν αὐτὸν ἐπιτηδεύειν τέ τι τῶν ἀξίων λόγου ἐπιτηδευμάτων καὶ πολλὰ μιμεῖσθαι, καὶ τοῦ τοὺς μιμουμένους τι τῶν αἰσχρῶν τῷ χρόνῳ τοῦ εἶναι ἀπολαύειν[2]), οὕπω εἰκός ἐστι συλλογίσασθαι ὅτι καὶ τὸ ἄλλων αὐτουργούντων, εἰ ἐνείη, θεᾶσθαι βλαβερὸν ἡγήσατο. Καὶ ὅμως καὶ τοῦτο ἀπεῖπεν ἐν τοῖς ὕστερον[3]) Πλάτων καὶ ἁπλῶς πᾶσαν μίμησιν ἐξώρισε τῆς ἑαυτοῦ πόλεως. Λόγον δὲ προβάλλεται οὐ πάνυ τι ἀναμφισβήτητον, ὥς γέ μοι δοκεῖ. Φησὶ γάρ, ὃ καὶ συγχωρητέον, τὰς ἰδέας μόνας ἔχεσθαι ἀληθείας, τὰ δὲ αἰσθητὰ εἴδωλα εἶναι τῶν ἰδεῶν, δεύτερα ἀπὸ τῆς ἀληθείας, τὴν δὲ γραφικὴν καὶ ποιητικὴν εἶναι τῶν εἰδώλων μίμησιν, τρίτην ἄρα ἀπὸ τῆς ἀληθείας· τοὺς δὲ γραφεῖς καὶ ποιητὰς οὔ φησιν ἐπίστασθαι αὐτὰ τὰ πράγματα, οἷά ἐστιν, ἀλλ' οἷα φαίνεται, καὶ οὕτω ταῦτα μιμεῖσθαι· εἰ γὰρ ἐπιστήμονες ἦσαν τῇ ἀληθείᾳ, ὧν περ καὶ μιμοῦνται, πολὺ πρότερον ἐν τοῖς ἔργοις ἂν σπουδάζειν ἢ ἐπὶ τοῖς μιμήμασι, καὶ πειρᾶσθαι ἂν πολλὰ καὶ καλὰ ἔργα ἑαυτῶν καταλιπεῖν μνημεῖα, καὶ εἶναι προθυμεῖσθαι ἂν μᾶλλον τοὺς ἐγκωμιαζομένους ἢ τοὺς ἐγκωμιάζοντας[4]). Ὃ δὴ λέγομεν ἐν τούτοις ἀμφισβητήσιμον, τοῦτό ἐστι,

---

1) Πλ. Πολ. Γ', 396 a.

2) Πλ. Πολ. Γ', 395 a—d.

3) Πλ. Πολ. Γ', 595 a—b.

4) Πλ. Πολ. Γ', 595 c—602 b. Δῆλον ὅτι Πλάτων τούτοις ὑπηρέτησε τῇ φιλοτιμίᾳ τοῦ Ῥωμαίου Σαλλουστίου τοῦ ἐξᾶραι μὲν τὰ οἰκεῖα, ἀμαυρῶσαι δὲ τὰ τῶν Ἑλλήνων ἐν τοῖςδε: «optumus quisque (Romanus) facere quam dicere, sua ab aliis bene facta laudari quam ipse aliorum narrare malebat» (de Catil. conjurat § 8). Καὶ ταῦτά φησι, μέλλων συγγράψειν τῶν εὐγενεστάτων Ῥωμαίων ἀγενέστατον καὶ αἴσχιστον ἔργον, μεγέθει μόνον καὶ καινότητι ἐξαίσιον. Ἀλλ' οἱ Ἕλληνες ἠπίσταντο οὐ μόνον τοὺς λόγους τῶν ἔργων κρείττους, ἀλλὰ καὶ τὰ ἔργα τῶν λόγων ἀποδεικνύναι. Ἀμαθὲς δὲ οἰεσθαι fortunâ, ὥς φησιν, invenisse ibi scriptorum magna ingenia, καὶ μὴ τὰς ὡς ἀληθῶς μεγάλας καὶ γενναίας πράξεις τὴν μεγίστην αἰτίαν ἔχειν τοῦ ἐγγενέσθαι magna ingenia scriptorum.

τὸ τοὺς ποιητὰς ἀεὶ εἴδωλα μιμεῖσθαι τῶν ἰδεῶν καὶ μὴ πολλάκις πρὸς αὐτὰς τὰς ἰδέας βλέποντας πειρᾶσθαι ταύτας μιμεῖσθαι· ἐπεὶ ποῖον εἴδωλον ἐμιμήσατο Φειδίας τὴν Ἀθηνᾶν ἢ τὸν Ὀλύμπιον Δία ποιήσας; ἢ Σοφοκλῆς τὴν Ἀντιγόνην; ἢ Ὅμηρος Ἀνδρομάχην, καὶ Ἕκτορα, καὶ ἄλλους; Ὅτι μὲν γὰρ πολλὰ καὶ παρ' Ὁμήρῳ καὶ τοῖς ἄλλοις ποιηταῖς εἰδώλων ἐστὶ μιμήματα, ὁμολογητέον· περὶ δὲ αὐτῶν τῶν μεγίστων τε καὶ καλλίστων, πολέμων τε πέρι καὶ στρατηγιῶν καὶ διοικήσεων πόλεων καὶ παιδείας πέρι ἀνθρώπων, περὶ ὧν ἐρωτᾷ Πλάτων Ὅμηρον, δίκαιον, ἐμοὶ δοκεῖν, ὑπὲρ Ὁμήρου ἀποκρίνεσθαι, ὅτι καὶ πόλεις βέλτιον ᾤκησαν δι' Ὅμηρον πᾶσαι αἱ χρησάμεναι αὐτῷ, καὶ πόλεμοι εὖ ἐπολεμήθησαν πάντες, καὶ παιδείας ἡγεμὼν γέγονεν Ὅμηρος πᾶσι τοῖς χρησαμένοις, οὐ μέντοι δι' Ὅμηρον μόνον· οὐδὲ γὰρ δυνατόν, οὐδ' ἂν ἄλλον τίς τινα ἐπιδείξειεν ἕνα μόνον ἄνδρα τηλικαῦτα κατορθώσαντα, μὴ συμβαλομένων μυρίων ἑτέρων· διὰ δὲ τὸ κοινὸς γενέσθαι Ὅμηρος πᾶσιν εἰς ὠφέλειαν, οὐκ ὀνομάζεται αὐτός, ἀλλ' ὁ ἀεί τι εἰσενεγκὼν ἴδιον· ἐπεὶ καὶ ὁ μέγας Ἀλέξανδρος Ἀριστοτέλους λέγεται μαθητής, οὐχ Ὁμήρου· πάντες γὰρ Ὁμήρου ἦσαν. Ἀλλ' εἰ ὀλίγον ἔτι χρόνον ἐπέζη Πλάτων, ἔγνω ἂν σαφῶς, τί ἄρα δύναται Ὅμηρος. Ἀλλ', οἶμαι, Πλάτων πέπονθεν οἷον αὐτὸς ἡμῖν ὑποτίθεται ἐν τῷ Πρωταγόρᾳ[1]). Ἐντρυφῶν γὰρ Ὁμηρικῇ ἀμβροσίᾳ καὶ νέκταρι καὶ κεκορεσμένος, τούτων οὐκέτι οἴεται δεῖν χάριν εἰδέναι Ὁμήρῳ, προσήκειν γὰρ οὕτως ἔχειν, ὅτι δ' ἐνιαχοῦ καὶ βροτεία τροφὴ παραμέμικται, οὐ συγγιγνώσκει[2])· εἰ δ' ἐγεγόνει ἐν ἀνθρώποις ἀμούσοις καὶ ἀπαιδεύτοις, ἠγάπησεν ἂν καὶ ἐπόθησε τὴν Ὁμήρου φαυλότητα καὶ διαφθορὰν τῶν πόλεων.

Ἐμβριθέστερος δὲ φαίνεται ὁ ἕτερος λόγος, καθ' ὃν καταδικάζει τὴν μιμητικὴν ποίησιν, ὅτι ἅπτεται τοῦ παθητικοῦ τῆς ψυχῆς καὶ τοῦτο ἐγείρουσα καὶ τρέφουσα ποιεῖ ἐπισκοτεῖν τῷ λογιστι-

---

1) Πλ. Πρωτ. 327—328.

2) Ἀτεχνῶς ὥσπερ καὶ πολλοὶ τῶν νῦν Ἑλληνικῇ ἀμβροσίᾳ τεθραμμένων ἔχουσι πρὸς τοὺς τροφοδότας Ἕλληνας.

κῷ[1]). Καίτοι καὶ ἐν τούτῳ ποθήσειεν ἄν τις διεστάλθαι τὰ ἐγειρόμενα πάθη τῷ ὑπουργεῖν τῷ λογιστικῷ καὶ μή, καὶ τοῖς μὲν ἐνδιδόναι, τοῖς δὲ μή· καὶ γὰρ ἡ μανία καὶ ὁ ἔρως, ἃ ἐγκωμιάζει ἐν τῷ Φαίδρῳ, πάθη δήπου ἐστίν, ὑπουργικὰ μέντοι τῷ λογιστικῷ. Τούτοις δὲ προσθῶμεν, ὅτι ἐν τοῖς ὕστερον γραφεῖσι Νόμοις πλὴν τῶν κωμικῶν θεαμάτων καὶ τὴν τραγῳδίαν συνεχώρησεν[2]), ἂν μέντοι αὕτη κριθεῖσα ὑπὸ τῶν ἀρχῶν τῆς πόλεως φαίνηται μὴ ἐναντιουμένη τοῖς ἤθεσι καὶ νόμοις τῆς πόλεως· ὥστε ἐνταῦθα δῆλον ὅτι ποιεῖται τὴν εἰρημένην διαστολὴν καὶ οὐχ ἁπλῶς καταδικάζει τὴν μίμησιν, ὅτι μίμησις. (ἀκολουθεῖ)

ΣΠΥΡΙΔΩΝ ΜΩΡΑΪΤΗΣ.

---

## ΕΠΙΓΡΑΦΑΙ ΤΗΣ ΝΗΣΟΥ ΣΥΡΟΥ.

Ἡ ἔρευνα τῶν ἐπιγραφῶν τῆς νήσου Σύρου ἤρξατο ἀπὸ τὰς ἀρχὰς τῆς παρούσης ἑκατονταετηρίδος. Πρὸ τῆς ἐποχῆς ταύτης οὐδεμία συρία ἐπιγραφὴ ἦτο γνωστή· οἱ δὲ περιηγηταί, διερχόμενοι τῆς Σύρου, μόλις ἔρριπτον βλέμμα ἐπὶ τῶν παρὰ τῷ λιμένι εὑρισκομένων ἀρχαίας πόλεως ἐρειπίων (1). Κατόπιν ὅμως, ὅτε ἡ

1) Πλ. Πολ. Γ', 602 c—907 α.

2) Πλ. Νόμ. Ζ', 817 α—d.

(1) Μόνος ὁ Tournefort (Voyage, lett. VIII, p. 3), ὁ Krienen (Breve descrizione dell' Arcipelago, p. 95) καὶ ὁ Σύριος Δελλαρόκκας (Traité sur les abeilles I, p. 34) ἀναφέρουσιν ὀλίγα τινὰ περὶ ἀρχαίων τῆς Σύρου μνημείων. Ὁ Δελλαρόκκας, ὡς καὶ ὁ Tournefort, ἀναφέρει, ὅτι ἐν τῷ Ἁγίῳ Γεωργίῳ τῆς Ἄνω Σύρου ὑπῆρχεν ἐπιγραφὴ (ἡ ὑπ' ἀρ. 20), ἧς ὅμως ἠγνόει τὸ περιεχόμενον· ἔτι δὲ ἀνάγλυφον, παριστῶν σεῖστρον μετ' ἄλλων τινῶν (ἰδὲ ἀρ. 11, ὑποσημ. 22). Εἰς ταῦτα δὲ προσθέτει· «On en a mis à profit beaucoup d'autres, telles que des blocs de marbre, de tronçons de colonnes qui soutiennent la cathédrale, et d' autres qui sont devant l' église des capucins, et qu' on n' a point encore employés. Il reste en-

Ἑλλὰς ἀπέσεισε τὸν ζυγὸν τῆς δουλείας καὶ ἐπὶ τῶν λειψάνων τῆς ἀρχαίας Σύρου ἀνηγείρετο ἡ Ἑρμούπολις, ἐκτὸς ἄλλων ἀρχαιοτήτων, καὶ ἐπιγραφαὶ ἤρχισαν νὰ ἀνακαλύπτωνται· φιλόμουσοι δὲ ἄνδρες ἐν Ἑρμουπόλει, πᾶν τὸ ἀνασκαπτόμενον ἢ ἐν παραβύστῳ κατακείμενον συλλέγοντες, κατὰ τὸ ἐνὸν αὐτοῖς, ἐν τῷ τότε *Μουσείῳ* (2) ἀπέθετον, καθιστῶντες οὕτως εὐπροσίτους εἰς τοὺς σοφοὺς τῆς ἀλλοδαπῆς τὰς ἀνακαλυπτομένας ἐν τῇ νήσῳ ἀρχαιότητας. Δυστυχῶς ὅμως μετά τινα ἔτη τὸ Μουσεῖον διελύθη· αἱ ἀρχαιότητες αὐτοῦ εἰς στενὴν ἐκλείσθησαν τοῦ γυμνασίου γωνίαν· τῶν δὲ κατόπιν ἀνακαλυφθέντων ἐνεπιγράφων μαρμάρων ὀλίγα μέν τινα προσετέθησαν εἰς τὰ ἐν τῷ γυμνασίῳ, τῶν δὲ λοιπῶν

---

core sur le lieu un pan de muraille, bâti avec de gros quartiers de marbre bâtard taillé à facettes, qu'on croit avoir servi à un temple dédié au dieu Pan, d'après des médailles sur lesquelles on voit la tête de ce dieu d'un côté, avec une chèvre au revers». Ἀλλ' ἡ περὶ ναοῦ τοῦ Πανὸς δοξασία αὕτη οὐδεμίαν ἔχει ὑπόστασιν· διότι τὸ ἀναφερόμενον λείψανον, ὑπάρχον εἰσέτι, δεικνύει, ὅτι ἀπετέλει μέρος τείχους ἀκροπόλεως (ἰδὲ ὑποσημ. 5). Κατόπιν ἀναφέρει ὁ Δελλαρόκκας περὶ τῆς ἀνακαλύψεως προτομῆς τοῦ Ἀδριανοῦ, νομισθείσης τότε τοῦ Φερεκύδους. (ἰδὲ ὑποσημ. 12, ά. 4). Ὁ δὲ Krienen, προκειμένου περὶ ἀρχαιοτήτων τῆς Σύρου, ἀναφέρει μόνον ὀλίγα περὶ λειψάνων ναοῦ τινος κατὰ τὸ δυτικὸν αὐτῆς (ἰδὲ ὑποσημ. 33).

(2) Τὸ Μουσεῖον ἦν σύλλογος σκοπῶν τὴν διάδοσιν ὠφελίμων γνώσεων παρὰ τοῖς κατοίκοις τῆς νήσου, οὐχὶ δὲ μουσεῖον ἀρχαιολογικόν, ὡς ἐνόμισάν τινες Εὐρωπαῖοι. Ὁ σύλλογος οὗτος ἱδρύθη τὸ 1835· συστήσας δὲ ἀναγνωστήριον, βιβλιοθήκην, ἐσπερινὰς παραδόσεις καὶ συλλογὴν ἀρχαιολογικήν, ἔδαινεν ἐπί τινα ἔτη ἀκμάζων· ἀλλὰ κατὰ τὰ ἔτη 1841—2 πεσὼν εἰς μαρασμόν, διελύθη. Τότε ἡ περιουσία αὐτοῦ περιῆλθεν εἰς χρῆσιν τοῦ Γυμνασίου Ἑρμουπόλεως ἐπὶ τῷ ὅρῳ, ὅτι «ἂν ἔπειτα ἤθελε συστηθῇ ἄλλο τοιούτου εἴδους Κατάστημα θέλει μεταβαίνει εἰς ἰδιοκτησίαν αὐτοῦ.» (Ἰδὲ Κανονισμὸν, ἄρθ. 38). Δυστυχῶς ὅμως ἔκτοτε μόνον ἀπόπειραι ἐγένοντο συστάσεως ὁμοίου συλλόγου καὶ οὐδὲν πλέον· ἐν δὲ τῷ παρόντι, σύλλογος μὲν νὰ ἱδρυθῇ φαίνεται δυσχερές· μουσείου δὲ ἀρχαιολογικοῦ τὴν ἵδρυσιν οὐδόλως ἀμφιβάλλομεν ὅτι συνεργούσης τῆς Ἀρχαιολογικῆς Ἑταιρίας, προθύμως θέλει ἀναλάβει ὁ δῆμος Ἑρμουπολιτῶν, ὁ ἐπὶ φιλοκαλίᾳ ἀεὶ διακριθεὶς καὶ δὴ ὑπὲρ τῶν ἐν Ἑλλάδι ἀρχαιοτήτων μόνος πάντων τῶν ἑλληνικῶν δήμων ἀδρότατα συνεισφέρων.

ἐν οἰκίαις ἢ ἐξοχικαῖς θέσεσιν ἐσπαρμένων διεσώθησαν ὅσα διέφυγον τὴν τῶν ἀρχαιοκαπήλων αὐθαιρεσίαν καὶ τὴν ὀλιγωρίαν τῶν ἀμαθῶν.

Εὐθὺς δ' ἅμα τῇ ἀνευρέσει τῶν πρώτων συρίων ἐπιγραφῶν, ἤρξαντο γινόμεναι ἐκδόσεις αὐτῶν· ἔκτοτε δὲ ἐν τῇ πληθύϊ τῶν δημοσιευομένων ἀρχαιολογικῶν διατριβῶν καὶ συγγραμμάτων παρουσιάζοντο ἐκ διαλειμμάτων ὀλίγα τινὰ ἀναφερόμενα εἰς τὰς ἐπιγραφὰς τῆς Σύρου (3). Γενικὰς δὲ συρίων ἐπιγραφῶν ἐκδόσεις,

---

(3) Ἐξέδωκαν ἐπιγραφὰς τῆς Σύρου·

Μουστοξύδης ἐν Αἰγιναίᾳ Ἐφημερίδι, 1831, σελ. 11—16.

Expédition scientifique, III, Pl. 15, F. IV.

Prokesch von Osten, ἐν Denkwürdigkeiten und Erinnerungen aus dem Orient, I Band, 1836, S. 61.

Πιττάκης ἐν Ἀρχαιολογικῇ Ἐφημερίδι, ἀρ. 272, 496, 498, 509, 511, 512, 513, ἔτ. 1839—40.

Ross ἐν Inscriptiones Græcæ Ineditæ, Fasc. II, 1842, n.106—111.

Ζωντανὸς ἐν Ἱστορικῇ Περιλήψει τῆς νήσου Σύρου, ἐν Ἐφημερίδι Ἀγγελιῶν, 1842, ἀριθ. 83 καὶ 84. Αἱ αὐτόθι ἐπιγραφαὶ μετὰ τῶν εἰς αὐτὰς σημειώσεων ἀντεγράφησαν ἐκ τῶν ἐκδόσεων τοῦ Μουστοξύδου καὶ Ross.

Curtius ἐν Rheinisches Museum, 1843, S. 103.

Bœckh ἐν τῷ Corpus Inscriptionum Græcarum, 2347 c—q.

Lebas, ἐν Revue Archéologique, 1844, Tom. I, p. 41.

Ἀνώνυμος, ἐν Rheinisches Museum, 1848, S. 83.

Lebas, ἐν Voyage etc. 1850. — Inscriptions des Iles n. 1882—1903.

Ussing, ἐν Graeske og Latinske Indskrifter i Kjöbenhavn, 1854, S. 34, n. 12.

Conze, ἐν τῷ Bulletino dell' Instituto etc. 1859, p. 166.

Γ. Παπαδόπουλος, ἐν Revue Archéologique, 1862, X, p. 230.

Keil, ἐν Rheinisches Museum, 1865, S. 541—558.

Ἀνώνυμος ἐν Πανδώρᾳ, 1866, σελ. 537.

Lenormant, ἐν Rheinisches Museum, 1867, S. 295.

Τ. Ἀμπελᾶς, ἐν Πανδώρᾳ, 1870, σελ. 475.

Egger, Comptes rendus des séances de l' Académie des Inscriptions etc. 1870, p. 194.

ἐπιστημονικῆς τινος ἀξίας, παρέσχον κυρίως ὁ Bœckh καὶ ὁ Lebas. Ἀλλ' οὗτοι ἐκ τῶν πολυαρίθμων ἐπιγραφῶν τῆς Σύρου, ἃς διέσωσεν ἡμῖν ὁ χρόνος, μόλις ἐγνώριζον, ὁ μὲν Bœckh 16· ὁ δὲ Lebas 25, ἐν αἷς καὶ αἱ τοῦ Bœckh. Τούτων δὲ πολλὰς, καὶ τῶν μᾶλλον ἀξίων λόγου τὰς πλείστας ὁ μὲν Bœckh μετὰ ἁμαρτημάτων καὶ ἀσόχων ἐν πολλοῖς συμπληρώσεων ἐδημοσίευσεν· ὁ δὲ Lebas μόνον τὰ κείμενα καὶ ταῦτα ἐν πολλοῖς ἡμαρτημένα. Καὶ ἐγένοντο μὲν κατόπιν νέαι τινὲς ἐκδόσεις, ἁμαρτήματά τινα ἐκείνων διορθοῦσαι, καί τινας ἄλλας ἀγνώστους ἐπιγραφὰς γνωστὰς καθιστῶσαι· ἀλλὰ καὶ αἱ ἐκδόσεις αὗται ἦσαν τὸ πλεῖστον ἡμαρτημέναι, καὶ ὁ ἀριθμὸς τῶν δημοσιευθεισῶν ἐπιγραφῶν μικρός· τὸ δὲ πλῆθος τῶν ἡμαρτημένων ἐκδόσεων καθίστα ἀμφίβολον καὶ αὐτῶν τῶν ὀρθῶν τὴν ἀκρίβειαν. Εἰς τοιοῦτον σημεῖον εὑρίσκοντο αἱ ἐργασίαι τῶν περὶ τὰς ἐπιγραφὰς τῆς Σύρου ἀσχοληθέντων, ὅτε ἐπεχειρήσαμεν τὴν ἔρευναν αὐτῶν. Μετὰ πολλοὺς κόπους ἱκανὰ ἡμαρτημένα ἐν ταῖς ἄλλαις ἐκδόσεσι διωρθώσαμεν, πολυαρίθμους δὲ ἀνεύρομεν ἀγνώστους τέως ἐπιγραφάς. Ὑπὸ δὲ τῆς Ἀρχαιολογικῆς Ἑταιρίας εἰς Σῦρον ἀποσταλέντες (3*), τάς τε ἐκδεδομένας ἐπεθεωρήσαμεν καὶ τὰς ἀγνώστους πάσῃ δυνατῇ ἐπιμελείᾳ ἐξηκριβώσαμεν κατὰ τὸ ἐνόν.

Τῶν ἐργασιῶν ἡμῶν τὰ ἐξαγόμενα ἐνταῦθα ἐκθέτοντες, θέλομεν διαιρέσει τὴν περὶ τούτων πραγματείαν εἰς δύο μέρη, ὧν τὸ μὲν

---

Κλὼν Στέφανος, ἐν Πατρίδι Σύρου, 1870, ἀρ. 223.

Wecklein, ἐν Neue Jahrbücher für Philologie und Pädagogik, 1873, S. 204.

Mommsen, ἐν τῷ Corpus Inscriptionum Latinarum, vol. III. 1873, n. 486, p. 94, 985.

Τ. Ἀμπελᾶς, ἐν Ἱστορίᾳ Σύρου, 1874. Τῶν ἐν αὐτῇ ἐπιγραφῶν αἱ πλεῖσται ἀντεγράφησαν, ὡς ὁ συγγραφεὺς ἀναφέρει, ἐκ τῆς ἀνωτέρω μνημονευομένης διατριβῆς τοῦ κ. Ζωντανοῦ.

Α. Μ. Κ. ἐν Νεολόγῳ Ἀθηνῶν, 1 Ἰανουαρίου 1875.

(3*) Ἰδὲ Πρακτ. τῆς Ἀρχ. Ἑταιρ. 1873—4, σ. 32.

πρῶτον θέλει περιλάβει τὰς ἐπιγραφὰς τὰς ἐν τοῖς ἐρειπίοις τῆς ἀρχαίας πόλεως καὶ τῶν πολιχνῶν τῆς Σύρου εὑρεθείσας· τὸ δὲ δεύτερον ἐπιγραφὰς τὸ πλεῖστον εὐκτικὰς, κεχαραγμένας κατὰ τὰς ἀκτὰς τῆς θέσεως *Γραμμάτων*. Τὴν δὲ διαίρεσιν ταύτην θεωροῦμεν ὡς μόνην ἁρμοδίαν, καθότι αἱ μὲν τοῦ πρώτου μέρους, ἃς πρὸς διάκρισιν τῶν ἄλλων *ἐγχωρίους* θέλομεν ὀνομάσει, ἀναφέρονται ἐμμέσως ἢ ἀμέσως εἰς τὸν βίον τῶν ἀρχαίων Συρίων καὶ τὴν ἀρχαίαν τῆς Σύρου τοπογραφίαν· αἱ δὲ τοῦ δευτέρου, ἀνεξάρτητοι οὖσαι τοῦ παρελθόντος τῆς νήσου, πόλεις καὶ χώρας παρουσιάζουσι ξένας καὶ ξένους ἀνθρώπους, οἵτινες ἐν καιρῷ τρικυμίας εἰς τὸν ὅρμον τῶν Γραμμάτων καταφεύγοντες, ἐπὶ τῶν βράχων ταύτας ἐχάρασσον (4).

## *Α'. Ἐπιγραφαὶ τῆς Σύρου ἐγχώριοι.*

Αἱ πλεῖσται τῶν ἐπιγραφῶν τούτων τῆς Σύρου ἀνήκουσιν εἰς τὴν ἀρχαίαν αὐτῆς πρωτεύουσαν· ὅθεν, πρὶν ἢ ἐξετάσωμεν ταύτας κρίνομεν εὔλογον νὰ εἴπωμεν ὀλίγα τινὰ περὶ αὐτῆς· ἐν παρόδῳ δὲ καὶ περὶ τῆς λοιπῆς τοπογραφίας τῆς ἀρχαίας Σύρου.

Ἀπὸ τῶν μεσημβρινῶν προπόδων τοῦ λόφου Δηλίου χθαμαλὸς ἐκτείνεται πρὸς νότον κλάδος, ὅστις ἐγγὺς τοῦ λιμένος τῆς Ἑρμουπόλεως σχηματίζει λοφίσκον. Ὁ λοφίσκος οὗτος, φέρων τὸ ὄνομα *Καταιλύματα*, οἱ ἀνατολικοὶ αὐτοῦ πρόποδες καὶ τὰ γειτνιάζοντα τῆς πεδιάδος καὶ παραλίας μέρη, ἄφθονα παρέχοντα λείψανα οἰκοδομημάτων ἀρχαίων, εἰσὶν ἀναμφιβόλως ὁ τόπος, ἐν

(4) Πρὶν ἢ εἰσέλθωμεν εἰς τὸ κύριον τῆς διατριβῆς μέρος ὀφείλομεν νὰ σημειώσωμεν, ὅτι ἐκ τῆς πληθύος τῶν περὶ ἀρχαίας Σύρου γραφέντων, ὧν δυστυχῶς τὰ πλεῖστα ἀναφέρονται εἰς Σῦρον μυθώδη, ἐκεῖνα μόνον τῶν ἡμαρτημένων ἀνηρέσαμεν, ὅσα ὑπὸ διακεκριμένων ἀνδρῶν γραφέντα ἠδύναντο νὰ θεωρηθῶσιν ὡς ὀρθά. Διὰ δὲ τὰ πλεῖστα τῶν ἄλλων ματαίαν θεωροῦντες πᾶσαν συζήτησιν, ἠρκέσθημεν νὰ ἀντικαταστήσωμεν τὰ ὀρθὰ ἀντὶ τούτων.

ᾧ ἔκειτο κατὰ τὴν ἀρχαιότητα ἡ ὁμώνυμος τῆς Σύρου πρωτεύουσα (4*). Καὶ ἐπὶ μὲν τοῦ λόφου Καταιλυμάτων φαίνονται λείψα-

---

(4*) Ὅτι ἡ Σῦρος εἶχεν ὁμώνυμον πρωτεύουσαν μανθάνομεν ἐκ τοῦ Πτολεμαίου («Σῦρος νῆσος καὶ πόλις», III, 15)· ἔλαβε δ' αὕτη τὸ ὄνομα κατ' ἀρχαιοτάτους χρόνους.

Περὶ τοῦ ὀνόματος τῆς τε πόλεως καὶ τῆς νήσου ἐπιτραπήτω ἡμῖν νὰ σημειώσωμέν τινα ἐνταῦθα. Τὴν λέξιν Σῦρος ὁ μὲν Bochart, ἐν τῇ Ἱερᾷ αὐτοῦ Γεωγραφίᾳ παράγει ἐκ τοῦ φοινικικοῦ usira=πλουσία ἢ usura=εὐδαίμων, ὁ δὲ παρ' ἡμῖν Γερμανὸς κ. Δέφνερ (Ἱστ. Σύρου σ. 84)ἐκ τῆς ῥίζης suar, sur=λάμπω, στίλβω, εἶμαι λευκὸς,ἄλλοι δὲ (Pappe, Wört. der Griech. Eigennamen, ἐν λ. Σῦρος) ἐθεώρησαν συγγενῆ πρὸς τὸ Ὑρία. Ἀλλ' αἱ ἐτυμολογίαι αὗται ἥκιστα φαίνονται προσεγγίζουσαι τῇ ἀληθείᾳ. Καθ' ἡμᾶς πιθανώτερον ὅτι τὸ ὄνομα Σῦρος εἶναι αὐτὸ τοῦτο τὸ Τύρος (ἀδιάφορος ὁ τονισμός), δοθὲν τῇ Σύρῳ ὑπὸ τῶν εἰς αὐτὴν ἀποικησάντων Φοινίκων. Τοῦτο εἶναι τοσούτῳ μᾶλλον πιθανόν, καθ' ὅσον καὶ Σοὺρ (Σῦρος) ἐγχωρίως ἐκαλεῖτο ἡ Τύρος, ἐξ οὗ καὶ πᾶσα ἡ χώρα ἐκλήθη Συρία (γῆ)=γῆ τῆς Σύρου=Τύρου. Ἐκτὸς δὲ τῆς προφανοῦς ταὐτότητος τῶν λέξεων, γνωρίζομεν, ὅτι καὶ εἰς πλείστους ἄλλους τόπους ἔδωκαν οἱ Φοίνικες ὀνόματα ἐκ τῆς ἰδίας αὐτῶν πατρίδος (ἰδὲ Ueber phönicische Ortsnamen von J. Olshansen in Rhein. Mus. 1853, S. 334). Καίτοι δὲ παρ' Ὁμήρῳ καὶ Ἡσυχίῳ ἁπαντᾷ καλουμένη Συρίη ἡ νῆσος, πιστεύομεν, ὅτι ἀρχαιότερον εἶναι τὸ ὄνομα Σῦρος, ὡς ὄνομα τῆς ἐν τῇ νήσῳ πόλεως· ἀπὸ ταύτης δ' ὅτι ἡ νῆσος ἐκλήθη κτητικῶς Συρίη (νῆσος)=νῆσος τῆς πόλεως Σύρου, ἐπειδὴ κατ' οὐδένα ποτὲ φωνητικὸν νόμον ἦτο δυνατὸν νὰ μετατραπῇ τὸ Συρίη εἰς Σῦρος. Ὅμοια δὲ παραδείγματα, ἐκτὸς τῆς Συρίας κληθείσης οὕτως ἀπὸ τῆς Τύρου, ἔχομεν πλεῖστα ἄλλα· ὡς Κόρινθος—Κορινθία, Χώνη—Χωνία, Μεσσήνη—Μεσσηνία, Σικυὼν—Σικυωνία, Ἄργος — Ἀργεία (Θουκ. 2, 7) καὶ Ἀργολίς, κτλ. Ὁπωσδήποτε ὅμως, παλαίτατα φαίνεται, ὅτι ἐκαλεῖτο ἡ νῆσος Συρίη· εἶτα δὲ ἀποβαλοῦσα τὸ ὄνομα τοῦτο, ἐκλήθη Σῦρος. Οὕτω δὲ ὠνομάζετο οὐ μόνον κατὰ τοὺς ἑλληνικοὺς χρόνους, ἀλλὰ καὶ μετὰ Χριστὸν ἔτι, ἂν πρέπῃ νὰ πιστεύσωμεν τὸν Ἡσύχιον (300 μ. Χ.), λέγοντα «Συρίη ἐνὶ γαίῃ τῇ περὶ πόντον. Ἡ νῦν λεγομένη Σῦρος νῆσος»· (λέξ. Συρίη). Ἐκτὸς δὲ τοῦ ὀνόματος τούτου, ἀπὸ τῶν χρόνων Διογένους τοῦ Λαερτίου (200 μ. Χ.) ἁπαντᾷ ἐν χρήσει τὸ ὄνομα Σύρα· «Σώζεται δὲ καὶ ἡλιοτρόπιον ἐν Σύρᾳ τῇ νήσῳ», (ἐν βίῳ Φερεκύδους). Καὶ ἀνεκδότου δὲ νομίσματος ἑλληνικῆς

να τείχους ἀκροπόλεως (5), ἐρείπια δεξαμενῆς (6), καὶ ἄλλα τινά, ἥττονος λόγου ἄξια. Ἀμέσως δὲ κάτωθεν τῶν λειψάνων τοῦ τείχους ὑπάρχει μικρὸν πεδίον (ἡ νῦν πλατεῖα Μωραϊτίνη), ἐν ᾧ καὶ ψήφισμα τιμητικὸν Βερνίκης εὑρέθη καὶ ἐπιστολὴ τῶν αὐτοκρατόρων Σεπτιμίου Σεβήρου καὶ Καρακάλλα, καὶ προτομὴ τοῦ Ἀδριανοῦ, καὶ ἐπὶ βράχου Ἀθηνᾶς Φρατρίας ἐπιγραφή, ἐξ ὧν μετὰ πιθανότητος δυνάμεθα νὰ συμπεράνωμεν, ὅτι αὐτόθι ὑπῆρχεν ἡ ἀγορὰ καὶ τὸ πρυτανεῖον τῆς πόλεως. Ἀνατολικώτερον δὲ

---

ἐποχῆς ἔχομεν ἀπεικόνισμα, φέρον τὸ ὄνομα ΣΥΡΑ.—Περὶ δὲ τοῦ ὀνόματος Σκῦρος, ὅπερ, ἕνεκα συγχύσεως τῆς Σύρου πρὸς τὴν Σκῦρον ἀπεδόθη τῇ Σύρῳ κατὰ τοὺς μεταγενεστέρους χρόνους, ἀρκεῖ νὰ σημειώσωμεν, ὅτι τοσούτῳ ἦν σύνηθες μέχρι χθὲς καὶ τοσαύτη βεβαιότης ὑπῆρχε περὶ τῆς ὀρθότητος τούτου, ὥστε καὶ ὑπ' αὐτῶν τῶν Συριῶν ἐν ἐγγράφοις τοῦ παρελθόντος αἰῶνος ἀπαντᾷ λεγομένη ἡ Σῦρος Σκίρα.—Περὶ τοῦ τονισμοῦ τῆς λέξεως Σῦρος ἰδὲ ἀρ. 20.

(5) Τοῦ τείχους τούτου σώζονται τὴν σήμερον, κατ' ἀποστάσεις, λείψανα εἰς ἔκτασιν 60 περίπου μέτρων κατὰ τὸ πρὸ Α. μέρος τῆς κορυφῆς. Τὸ μέγιστον τῶν λειψάνων τούτων (20 μ. μῆκ.), ὑπάρχον ἄνωθεν τοῦ ναοῦ τῆς Κοιμήσεως, παρουσιάζει σημεῖα πύλης· ἐνταῦθα τὸ τεῖχος ἔχει πάχ. 0,80 καὶ ὕψ. 0,50· λίθος ἀργὸς 1,40 μήκ. ἀποτελεῖ τὴν οὐδὸν τῆς πύλης· σταθμῶν οὐδὲν μέρος σώζεται· ἀμφοτέρωθεν δὲ μόνον τῷ εἰσερχομένῳ ὑπάρχει κοιλότης, ἐν ᾗ ἐκινεῖτο ὁ στροφεὺς τοῦ θυρέτρου (Ἰδὲ καὶ Prokesch, Denkwürdigkeiten u. s. w. I, S. 61).

(6) Ὀλίγον μετὰ τὴν πύλην, πρὸς τὰ ἀριστερὰ ἐπὶ τοῦ αὐτοῦ τείχους φαίνεται ἔτι καὶ νῦν ἐντὸς οἰκίσκου ὁ κρουνὸς τῆς δεξαμενῆς. Ἡ δεξαμενὴ αὕτη, ὅλως ἀφανὴς τὴν σήμερον, ἔκειτο ἔνδοθεν τοῦ τείχους· ἦν δὲ, ὡς μαρτυροῦσιν οἱ ἰδόντες αὐτὴν, ἱκανῶς μεγάλη. Αὕτη ἐλάμβανε τὸ ὕδωρ δι' ὑδραγωγῶν ἀπὸ τῆς Πηγῆς, τῆς κρήνης τοῦ Γυρίου καὶ τῆς τοῦ Ἐπισκοπείου. Ἐκ τούτων ὁ ὑδραγωγὸς τῆς Πηγῆς, διευθυνόμενος διὰ τῆς φάραγγος αὐτῆς, τῆς δυτικῆς πλευρᾶς καὶ τῶν νοτίων καὶ νοτιοανατολικῶν προπόδων τοῦ λόφου τῆς Ἄνω Σύρου, διήρχετο κατὰ τὴν γέφυραν τοῦ Παυσιλύπου εἰς τὴν ἀντίπεραν ὄχθην τοῦ ἐκεῖ χειμάρρου καὶ βαίνων ἐπὶ τοίχου, σωζομένου ἐν μέρει πρό τινων ἐτῶν, ἐχώρει πρὸς τὴν δεξαμενήν. Περὶ δὲ τῶν ἄλλων ὑδραγωγῶν γνωρίζομεν μόνον, ὅτι τοῦ μὲν ὑδραγωγοῦ τοῦ Γυρίου μικρὸν μέρος κατεστραμμένον ἐκεῖ πλησίον φαίνεται· τοῦ δὲ Ἐπισκοπείου, ὅτι διήρχετο διὰ γεφύρας κατὰ τὴν θέσιν Καμάρας.

τοῦ πεδίου τούτου, ἔνθα αἴφνης ταπεινοῦται τὸ ἔδαφος, κοίλωμα σχηματίζεται, πρὸς τὴν θάλασσαν κεκλιμένον, ἐν ᾧ ὑπάρχουσι λείψανα ἀρχαίου θεάτρου. Ταῦτά εἰσι τὰ σπουδαιότερα τῶν λειψάνων, ἅτινα διεσώθησαν ἡμῖν ἐκ τῆς ἀρχαίας πόλεως Σύρου· ἐν δὲ τῇ περιοχῇ αὐτῶν εὑρέθησαν αἱ πλεῖσται τῶν πολιτικῶν ἐπιγραφῶν (7).

---

(7) Πλὴν τῆς πόλεως Σύρου ὑπῆρχον ἔτι ἐν τῇ νήσῳ· 1) Ἀρχαιοτάτη πόλις τῶν προϊστορικῶν πειρατικῶν χρόνων, κατὰ τὴν ὀρεινὴν θέσιν Χαλανδριανήν, οὖσα ἀρχαιοτέρα τῆς τε ἀρχαίας πόλεως Σύρου καὶ τῶν ἄλλων παραθαλασσίων πολιχνῶν, κτισθεισῶν, ὅτε αἱ ἑλληνικαὶ θάλασσαι κατέστησαν πλωϊμώτεραι. Κατὰ τὴν θέσιν ταύτην πολυάριθμοι εὑρέθησαν τάφοι, περὶ ὧν ἱκανὰ ἔγραψεν ὁ κ. Γ. Παπαδόπουλος (Revue Archéologique, 1862, X. Πανδώρα Τόμ. ΙϚ', 1865, σ. 121)· κακῶς ὅμως ὑπέθεσεν οὗτος, ὅτι ἀνῆκον εἰς τοὺς ρωμαϊκοὺς χρόνους, καὶ ὅτι, αὐτόσε μεταφερόμενοι, ἐθάπτοντο οἱ ἐν Γυάρῳ ἀποθνήσκοντες πολιτικοὶ τῆς Ῥώμης κατάδικοι. Τοῦτο οὐδεμίαν ἔχει ὑπόστασιν. Ἡ κατασκευὴ τῶν τάφων καὶ τὰ ἐν αὐτοῖς εὑρεθέντα ἀγαλμάτια, ὅμοια ὄντα πρὸς τὰ ἐν ἄλλαις ἀρχαιοτάταις νεκροπόλεσιν εὑρισκόμενα, προδήλως δεικνύουσιν, ὅτι ἡ νεκρόπολις αὕτη εἶναι ἀρχαιοτάτη. Οὐδόλως δ' εἶναι ἀναγκαῖον νὰ ὑποθέσωμεν, ὅτι ἀλλαχόθεν μετεφέροντο αὐτόσε οἱ νεκροί, καθ' ὅσον πλεῖσα περὶ τὴν θέσιν ταύτην ὑπάρχοντα ἐρείπια ἀποδεικνύουσι τὴν αὐτόθι ὕπαρξιν πόλεως. Παρεμφερὲς πρὸς τὰ σύρια ἀγαλμάτια τῆς Χαλανδριανῆς ὑπάρχει εἰκονισμένον ἐν τῇ πραγματείᾳ τοῦ Thiersch: Ueber Paros und parische Inschriften.—2) Πολίχναι εἰς Ποσείδεια, Φοίνικα καὶ Γαληνσσᾶν (ἰδὲ ἀριθ. 38 καὶ 39). — 3) Πολίχναι εἰς Βάρην, ὅπου τέσσαρες ὑπάρχουσιν ἐρειπιῶνες· ἔτι εἰς Ἅγ. Μιχαὴλ καὶ Παναυλαίς. Ἐν Ἁγίῳ Μιχαὴλ ἄξιον λόγου μνημεῖον ὑπάρχει, ἐν μέρει ἐκκεχωσμένον, ὑπόγειον ὑδραυλικὸν οἰκοδόμημα, πιθανῶς κρήνη μετὰ ὑδραγωγοῦ. Φέρει δὲ ἐκ τούτου ἡ θέσις τὸ ὄνομα Ἑλληνικόν. Περὶ δὲ τῶν ἐρειπίων τῆς ἐν Παναυλαῖς πολίχνης ὑπέθεσεν ὁ Ross, ὅτι ἀνήκουσι τῇ ἐν τῷ ψηφίσματι τοῦ Ὀνησάνδρου (C. I. G. n. 2347c) ἀναφερομένῃ Ἐσχατιᾷ. Ἀλλ' ἡ εἰκασία αὕτη ἀποδεικνύεται ἡμαρτημένη· πρῶτον μὲν, διότι τὸ ψήφισμα ἀναφέρει ἁπλῶς, ὅτι ἀφηρπάγησαν οἰκετικὰ σώματα ἐκ τῆς καλουμένης Ἐσχατιᾶς, ὅπερ οὐδόλως ἀποδεικνύει, ὅτι ἡ Ἐσχατιὰ ἦτο πόλις· δεύτερον δὲ, διότι αἱ Παναυλαὶ κεῖνται ἐπὶ κορυφῆς ὄρους καὶ οὐχὶ ἐν ἐσχατιᾷ. — Τὰ δὲ περὶ ἄλλων ἐν Σύρῳ κωμοπόλεων ὑπό τινων ἀναφερόμενα εἰσὶν αὐτόχρημα μῦθοι.

Κατὰ δὲ τοὺς νοτιοδυτικοὺς τοῦ λοφίσκου τῶν Καταιλυμάτων πρόποδας, οὓς ὁρίζει ὁ χείμαρρος *Λαλακιᾶς*, ἔκειτο τῆς πόλεως νεκροταφεῖον, ὡς πλεῖστοι τάφοι κατὰ καιροὺς αὐτόθι εὑρεθέντες δεικνύουσιν. Ἐκτὸς δὲ τῶν ὀλίγων ἐπιτυμβίων ἐπιγραφῶν, αἵτινες ὡρισμένως γνωρίζομεν ὅτι ἀνεκαλύφθησαν αὐτόθι, ἀνήκουσι πιθανῶς τῷ νεκροταφείῳ τούτῳ καὶ αἱ πλεῖσται τῶν ἄλλων, αἵτινες εὑρέθησαν τετοιχισμέναι ἐν Ἑρμουπόλει ἢ ἄνω Σύρῳ (8).

Πλὴν δὲ τῶν ἄλλων τῆς ἀρχαίας πόλεως λειψάνων καὶ τοῦ νεκροταφείου αὐτῆς, διαφόρων ἱερῶν ἴχνη καὶ θέσεις ἀφιερωμένας εἰς θεοὺς ἀνευρίσκομεν ἔν τε τῇ πόλει καὶ τῇ πεδιάδι καὶ τοῖς πέριξ ὄρεσι. Καὶ κατὰ μὲν τὴν πόλιν καὶ παρ' αὐτῇ ἀπαντῶμεν τὰς θέσεις, ἐν αἷς ἔκειντο ναοὶ τῆς *Φρατρίας Ἀθηνᾶς*, τῆς *Ἴσιδος* καὶ τοῦ *Ἀσφαλείου Ποσειδῶνος*. Ἐπὶ δὲ τῶν πέριξ ὀρέων, ἀρχόμενοι ἀπὸ νότου, ἀπαντῶμεν κατ' ἀρχὰς λόφον ἱερὸν τῷ *Διΐ* (τοῦ Ζιᾶ τὸ βουνί)· εἶτα τὸ *Σκληπεῖ* (Ἀσκληπίειον)· ἱερὸν μυστηριώδους θεότητος, ἴσως τῆς *Κυβέλης*, κατὰ τὴν θέσιν *Πατέλλι*· καὶ ἀπέναντι τῆς Δήλου, τὸ *Δῆλι* (Δήλιον), ἐφ' οὗ κατὰ τὸν Ross (Inselreisen, II, S. 27) ὑπῆρχεν ἴσως ἱερὸν τοῦ *Ἀπόλλωνος*. Πλὴν δὲ τούτων, τοπωνυμίαι τῆς Σύρου διέσωσαν ἡμῖν πολλῶν ἄλλων ἱερῶν τὴν μνήμην. Οὕτως ἔχομεν, παρὰ τὰ *Πηγαδάκια*, εἰς τὴν θέσιν *Πολλώνια*, ἱερὸν τοῦ *Ἀπόλλωνος*· εἰς τὸ *Καβεῖρι*, πρὸς τὰ Δ. τῆς νήσου, ἱερὸν τῶν *Καβείρων* (9)· εἰς τὰ *Πωμώνια*,

---

Πλὴν τούτων ὑπάρχουσι λείψανα πύργου εἰς τὰ ΝΑ. τῆς Σύρου ὄρη, τὰ καλούμενα Νήταις, κατὰ τὴν θέσιν Παληόπυργος· ἔτι δὲ ὀχυρώματα εἰς τὸν κατὰ τὰ ΒΑ. παράλια τῆς Σύρου ἀπόκρημνον λόφον, τὸν καλούμενον Καστρί, καὶ εἰς τὰ πλησιόχωρα τῆς Ἑρμουπόλως ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους Σκοπέλου· ἀλλὰ τὰ ὀχυρώματα ταῦτα ἴσως ἀνήκουσιν εἰς μεταγενεστέρους χρόνους.

(8) Τάφοι ἀνήκοντες τῇ πόλει Σύρῳ εὑρέθησαν ἔτι ἐν τῇ πλατείᾳ Λεωτσάκου καὶ κατὰ τοὺς πρόποδας τοῦ λόφου τῆς Ἄνω Σύρου.

(9) Μεταξὺ πασῶν τῶν ἐν Σύρῳ λατρευομένων θεοτήτων οἱ Κάβειροι ἐτύγχανον ἐξαιρετικῆς λατρείας, ὡς δείκνυται ἐκ τῶν πολυαρίθμων συρίων νομισμάτων, τῶν φερόντων τοὺς θεοὺς τούτους. Ἡ λατρεία αὐτῶν

κατὰ τὰ βόρεια τοῦ ὄρους Πύργου, ἱερὸν πιθανῶς τῆς ῥωμαϊκῆς θεότητος *Πωμώνας*· εἰς τὴν ὀρεινὴν καὶ ποιμενικὴν θέσιν *Παναυλαὶς* (Πανὶ-αὐλαὶ= Πανὸς αὐλαὶ) ἱερὸν τοῦ *Πανός*, καὶ ἕτερον τοῦ *Ποσειδῶνος* εἰς *Ποσείδεια*· ἔτι δὲ κατὰ τὰς βορειοτάτας τῆς νήσου ἐσχατιὰς, κατὰ τὴν θέσιν *Γράμματα*, ἓν ἢ δύο ἱερὰ, ὧν τὸ ἓν τοῦ *Σεράπιδος*. Καὶ εἰς πλεῖστα δὲ ἄλλα τῆς Σύρου μέρη, ἔνθα ἐρημικοὶ ναΐσκοι τοῦ χριστιανισμοῦ ὑπάρχουσι νῦν, λείψανα ἀρχαίων ἱερῶν καὶ βωμῶν ἀπαντῶμεν. Τούτων ὅμως πάντων ἐπισημότατα εἶναι τὰ κατὰ τὴν παραλίαν τοῦ *Φοίνικος* ἀνακαλυφθέντα λείψανα ἀρχαίου ναοῦ, πιθανῶς τοῦ *Διονύσου*. Εἰς τὸν ναὸν τοῦτον καὶ τοὺς ἐν τῇ ἀρχαίᾳ πόλει Σύρῳ ναοὺς τῆς Φρατρίας Ἀθηνᾶς, τῆς Ἴσιδος καὶ τοῦ Ποσειδῶνος ἀναφέρονται αἱ ὀλίγαι θρησκευτικαὶ τῆς Σύρου ἐπιγραφαὶ, ἃς μέχρι τοῦδε γνωρίζομεν.

Καὶ ταῦτα μὲν περὶ τῶν λειψάνων τῆς ἀρχαίας πόλεως Σύρου,

---

φαίνεται εἰσαχθεῖσα εἰς τὴν νῆσον κατὰ τοὺς ἀρχαιοτάτους χρόνους· διότι καὶ ἐπὶ τῶν ἑλλην. χρόνων, πρὶν δηλ. ἡ γείνῃ νέα εἰσαγωγὴ ἀνατολικῶν θεοτήτων εἰς τὴν Ἑλλάδα, ἀπαντῶσιν οἱ Κάβειροι εἰς τὰ νομίσματα τῆς Σύρου. Περὶ δὲ τῆς γενέσεως τῆς λατρείας αὐτῶν καὶ τῆς σημασίας τῆς λέξεως πολλὰ καὶ διάφορα ὑπὸ διαφόρων ἐλέχθησαν Εὐρωπαίων. Τὸ καθ' ἡμᾶς ὅμως οἱ θεοὶ οὗτοι οὐδὲν ἄλλο ἦσαν εἰμὴ οἱ καρκίνοι θεοποιηθέντες, ὡς καὶ ὁ Ἡσύχιος μαρτυρεῖ· «Κάβειροι, καρκίνοι· πάνυ δὲ τιμῶνται οὗτοι ἐν Λήμνῳ, ὡς θεοί· λέγονται δὲ εἶναι Ἡφαίστου παῖδες». Καὶ ἐν τῇ ὁμιλουμένῃ δὲ ἑλληνικῇ μέχρι τοῦ νῦν κάβουροι καλοῦνται οἱ καρκίνοι. Ὅθεν εἰς τὸ ὄνομα τοῦτο τῶν καρκίνων νομίζομεν ὅτι πρέπει νὰ ζητηθῇ ἡ σημασία τῆς λέξεως. Τὴν δ' ἀλήθειαν τῆς θεοποιήσεως ταύτης τῶν καρκίνων μαρτυρεῖ καὶ ἡ κατὰ τὸ αὐτὸ μέρος τοῦ οὐρανοῦ παρ' ἀλλήλοις θέσις τοῦ ἀστερισμοῦ τοῦ Καρκίνου καὶ τῶν Διδύμων ἢ Διοσκούρων, ταυτιζομένων ὡς γνωστὸν τοῖς Καβείροις.—Ὁμοίαν δὲ ἀρχὴν πρέπει νὰ ἀποδώσωμεν καὶ εἰς τὸν ἐν τῇ Ἁγίᾳ Γραφῇ ἀναφερόμενον θεὸν τῆς Συρίας Μαμμωνᾶν, ὅστις, ὡς φαίνεται, εἶναι θεοποίησις ἐντόμου, οὗ τὴν ὀνομασίαν μαμμοῦνι διετήρησεν ἡ ὁμιλουμένη, ἀποδοῦσα εἰς πᾶν εἶδος ἐντόμου. Τοιοῦτον παράδειγμα, ἐκτὸς πολυπληθῶν ὁμοίων αἰγυπτιακῶν καὶ φοινικικῶν θεοποιήσεων, ἔχομεν καὶ ἐν τῇ νεωτέρᾳ Ἑλλάδι τοὺς Καλλικαντσάρους, οἵτινες, ὡς ἤδη ὑπ' ἄλλων παρετηρήθη, εἶναι θεοποίησις τῶν κανθάρων (Καλοὶ-κάνθαροι).

τοῦ νεκροταφείου αὐτῆς καὶ τῶν ἱερῶν τῆς νήσου, θεωρουμένων κυρίως ὡς τόπων ἐν οἷς εὑρέθησαν ἐπιγραφαὶ ἀρχαῖαι.

Χρονολογικῶς δὲ ἐξεταζόμεναι αἱ ἐγχώριοι τῆς Σύρου ἐπιγραφαὶ, ἀνήκουσι δύο μὲν εἰς ἀρχαιοτάτους χρόνους· ὀλίγαι τινὲς εἰς ἑλληνικούς· πλείονες εἰς μεταγενεστέρους· αἱ δὲ πλεῖσται καὶ σπουδαιόταται εἰς τὴν ἐποχὴν τῶν Ῥωμαίων αὐτοκρατόρων. Τοῦτο δὲ οὐδόλως πρέπει νὰ θεωρήσωμεν ὡς ἁπλῆν σύμπτωσιν· διότι καὶ πάντα τὰ ἄλλα μνημεῖα τῆς ἐποχῆς ταύτης σπουδαιότερα πάσης ἄλλης ἀναφαίνονται. Προφανῶς δὲ ἐκ τούτου ἐξάγεται, ὅτι ἡ Σῦρος τότε μάλιστα ἤκμαζεν, ἀπὸ τῆς καταπτώσεως τῆς Δήλου ἀκμὴν καὶ εὐημερίαν λαβοῦσα. Καίτοι δὲ κυρίως εἰς τοὺς ῥωμαϊκοὺς χρόνους ἀνήκουσιν αἱ ἐπιγραφαὶ αὗται τῆς Σύρου, μεγάλην ἔχουσι σπουδαιότητα καὶ διὰ τὴν ἱστορίαν τῶν ἑλληνικῶν χρόνων· διότι καὶ κατὰ τὴν ἐποχὴν ταύτην διετήρει ἡ Σῦρος κατὰ τὸ πλεῖστον τὰ ἤθη καὶ ἔθιμα τοῦ ἀρχαίου ἑλληνικοῦ βίου καὶ ἀμετάβλητον τὸν πολιτικὸν αὐτῆς ὀργανισμόν.

Συγκρινόμεναι δὲ πρὸς τὰς λοιπὰς ἱστορικὰς πηγὰς, δηλ. τοὺς συγγραφεῖς, τὴν νομισματικὴν, τὰς τοπωνυμίας, τὴν ἀρχιτεκτονικὴν καὶ γλυπτικὴν, παρ' ὧν δυνάμεθα νὰ ἀρυσθῶμεν εἰδήσεις περὶ τῆς ἀρχαιότητος τῆς Σύρου, εὑρίσκονται ἐν γένει αἱ ἐπιγραφαὶ πολλῷ τούτων ἐπισημότεραι, ὡς χορηγοῦσαι ἡμῖν τὰς πλείστας εἰδήσεις, ἃς ἔχομεν περὶ τοῦ βίου τῶν ἀρχαίων Συρίων, καὶ ἰδίως περὶ τοῦ ἐν Σύρῳ πολιτεύματος, τῶν θρησκευτικῶν τελετῶν καὶ ἀγώνων καὶ τῶν στεφανηφόρων ἀρχόντων αὐτῆς. Ἐκ δὲ τῶν ἄλλων ἱστορικῶν πηγῶν οἱ μὲν συγγραφεῖς πληροφοροῦσιν ἡμᾶς μετὰ θετικότητος μόνον περὶ τῆς ἁλώσεως τῆς Σύρου ὑπὸ τῶν Σαμίων[10]·

(10) Πλὴν τῶν παρ' Ὁμήρῳ περὶ Σύρου λεγομένων (Ὁμ. Ὀδύσ. Ο, ς. 403 κ. ἑ.), ὧν ἀμφίβολος εἶναι ἡ ἱστορικὴ ἀξία, καὶ πλὴν τῆς ἐλεύσεως εἰς Σῦρον ἀποικίας Ἰώνων ὑπὸ τὴν ἀρχηγίαν τοῦ Ἱππομέδοντος (Σχολ. Διονυσ. Περιηγ. σ. 525), ὅπερ ὡσαύτως δὲν εἶναι βέβαιον, μόνη ἱστορικὴ μαρτυρία περὶ τῶν ἑλληνικῶν χρόνων τῆς Σύρου ἀπολείπεται ἡμῖν ἀπόσπασμά τι τοῦ Θεοπόμπου, διασωθὲν παρὰ τῷ Σχολιαστῇ τοῦ Ἀριστοφάνους (εἰς Εἰρήν. 363), καθ' ὃ ἡ Σῦρος ἐκυριεύθη ποτὲ ὑπὸ τῶν Σαμίων προδοσίᾳ Κιλλικῶντός τινος. Τὸ γεγονὸς τοῦτο, καίτοι ἄλλως ὑ-

ἡ δὲ νομισματικὴ περὶ τῶν ἐν Σύρῳ λατρευομένων θεῶν· αἱ δὲ τοπωνυμίαι περὶ τῆς θέσεως διαφόρων ναῶν, ἀγνώστων ἀλλαχόθεν ἡμῖν. Ἀλλ' ἐκ τῶν ἱστορικῶν πηγῶν αἱ μᾶλλον δυνάμεναι νὰ ἐξισωθῶσι πρὸς τὰς ἐπιγραφὰς εἶναι ἡ ἀρχιτεκτονικὴ καὶ γλυπτικὴ 1) ὡς παρέχουσαι ἡμῖν, πλὴν ἄλλων, μνημεῖα τῶν ἀρχαιο-

---

π' ἄλλων ἀναφερόμενον, ἄνευ οὐδεμιᾶς ἀμφιβολίας εἶναι ἀληθὲς, ὡς ὑπὸ ἀξιοπίστου ἱστορικοῦ μαρτυρούμενον· ἐγένετο δὲ ἡ τῆς Σύρου κατάληψις πιθανῶς ἐπὶ Πολυκράτους, ὅστις καὶ ἄλλας νήσους καὶ τὴν Δῆλον ὑπέταξε. Παραθέτομεν ἐνταῦθα τὰ ὑπὸ τοῦ Σχολιαστοῦ ἀναφερόμενα ἐν τῷ στ. τοῦ Ἀριςοφάνους· οὐδὲν πονηρὸν, ἀλλ' ὅπερ καὶ Κιλλικῶν. «Οὐκ οἶδ' ὅπως φησὶν οὐδὲν πονηρὸν ποιεῖν ταῦτα πράττειν εἶναι ὅπερ καὶ Κιλλικῶν· ὁ γάρ τοι Κιλλικῶν ἐπὶ πονηρίᾳ διαβόητός ἐστι. Φασὶ γὰρ οἱ μὲν Σάμον ἢ Μίλητον προδοῦναι Πριηνεῦσι. Θεόπομπος (cod. Θεόφραστος) δὲ ἐν τῷ ιγ' τῶν ἱστοριῶν τῶν ἑαυτοῦ Σύρον φησὶν αὐτὸν τὴν νῆσον προδεδωκέναι Σαμίοις. Πυνθανομένων δὲ πολλάκις αὐτοῦ τινῶν τί μέλλει ποιεῖν, ἔλεγε· Πάντα ἀγαθά. Πάντα οὖν ἀγαθά φησι ποιεῖν, ὡς ἔφη καὶ Κιλλικῶν. Τῆς δὲ προδοσίας τοιαύτην ὑποσχεῖν τιμωρίαν. Θεαγέννην τινὰ ἄνδρα Σύριον, τῆς νήσου τῆς ὑπὸ Κιλλικῶντος προδοθείσης πολίτην, πρὸ πολλοῦ μετοικήσαντα εἰς τὴν Σάμον κρεοπωλεῖν καὶ οὕτως ἀπάγειν τὸν ἑαυτοῦ βίον. Ἀγανακτήσαντα δὴ ἐπὶ τῇ προδοσίᾳ τῆς πατρίδος, ἐπιστάντος τοῦ Κιλλικῶντος ὠνήσασθαι παρ' αὐτοῦ κρέας δοῦναι κρατεῖν αὐτῷ, ἵνα ἀποκόψῃ τὸ περιττόν. Τοῦ δὲ πεισθέντος καὶ κρατοῦντος τοῦ Κιλλικῶντος προφάσει τοῦ πλεονάζον ἀποκόψαι τὸ κρέας, ἐπανατεινάμενον τὴν κοπίδα κόψαι τὴν χεῖρα τοῦ Κιλλικῶντος, καὶ εἰπεῖν ὡς ταύτῃ τῇ χειρὶ ἑτέραν οὐ προδώσεις πόλιν. Μέμνηται δὲ καὶ Καλλίμαχος (fr. 227)· «Μὴ σύγε, Θεόγενες, κόψῃς χέρα Κιλλικόωντος». Ἱστορεῖ δὲ καὶ Λέανδρος ἐν δευτέρῳ Μιλησιακῶν προδοῦναι Μίλητον, καὶ ὅτε ἀνέῳξε τὰς πύλας τῶν πολεμίων (?) πυνθανομένου τινὸς ὅ τι τοῦτο ἐποίησεν, ἀποκρίνασθαι ἀγαθὰ Κιλλικῶν». (Müller, Fragm. Hist., II, p. 334). Ἄλλως διηγεῖται ταῦτα ὁ Σουΐδας· «Κιλλικών. Οὐδὲν πονηρὸν, ἀλλ' ὅπερ καὶ Κιλλικών. Οὗτος παρέδωκε τὴν Σάμον. Ὡσεὶ εἶπεν· οὐδὲν κακὸν ποιῶ, ἀλλ' ἱεροσυλῶ. Ἐπὶ πονηρίᾳ γὰρ ἐτεθρύλλητο ὁ Κιλλικών, ὃς προὔδωκε Μίλητον Πριηνεῦσι. Πυνθανομένων δὲ πολλάκις αὐτοῦ τινων, τί μέλλει ποιεῖν, ἔλεγε πάντα ἀγαθά· καὶ ἔστι παροιμία· πάντα ἀγαθὰ, ὡς ἔφη Κιλλικών. Ὕστερον μέντοι παρὰ Θεαγένους τινὸς εἰσῆλθεν ὠνησόμενος κρέα· κἀκεῖνος ὑποδεῖξαι ἐκέλευσε, πόθεν κόψαι θέλει· προτείναντος δὲ τὴν χεῖρα ἀπέκοψε, καὶ εἶπε, ταύτῃ τῇ χειρὶ οὐ προδώσῃς πόλιν ἑτέραν».

τάτων πειρατικῶν χρόνων, ἐν τῇ νεκροπόλει καὶ τοῖς ἐρειπίοις τῆς Χαλανδριανῆς (ἰδὲ ὑποσ. 7)· 2) δεικνύουσαι τὰ μέρη τῆς Σύρου, ἅτινα ἐξέλεξαν κατὰ καιροὺς οἱ κάτοικοι πρὸς οἴκησιν αὐτῶν, καὶ 3) ὡς ἐμφαίνουσαι τὴν εἰς τὰς τέχνας ἐπίδοσιν τῶν Συρίων καὶ τὴν οἰκονομικὴν τῆς Σύρου κατὰ τὴν ἀρχαιότητα κατάστασιν. Ἀλλὰ καὶ τούτων τέλος σπουδαιότεραι πρέπει νὰ θεωρηθῶσιν αἱ ἐπιγραφαί· διότι, ὡς ἀνωτέρω ἐλέχθη, εἰς ταύτας ὀφείλομεν τὰς πλείστας εἰδήσεις περὶ τοῦ πολιτικοῦ καὶ θρησκευτικοῦ τῆς Σύρου ὀργανισμοῦ, τῶν δύο κυριωτάτων στοιχείων πάσης πολιτείας(10*).

Μετὰ τὰ προεισαγωγικὰ ταῦτα περὶ τῆς τοπογραφίας τῆς ἀρχαίας Σύρου καὶ τῆς ἀξίας τῶν διαφόρων περὶ αὐτῆς ἱστορικῶν πηγῶν, μεταβαίνομεν νῦν εἰς τὰ διάφορα τῶν ἐπιγραφῶν εἴδη, ἀρχόμενοι ἀπὸ τῶν πολιτικῶν (11).

---

(10*) Μετὰ τῶν διαφόρων τούτων πηγῶν δέον νὰ συναριθμήσωμεν καὶ λείψανά τινα τῆς ἀρχαίας ἑλληνικῆς γλώσσης, διασωθέντα, πρὸς ταῖς πολυαρίθμοις ἀρχαίαις τοπωνυμίαις, παρὰ τοῖς Συρίοις χωρικοῖς. Αἱ τοπωνυμίαι καὶ τὰ λείψανα ταῦτά εἰσι πολλοῦ λόγου ἄξια, διότι ἐκτὸς τῶν ἄλλων, ἅτινα διδάσκουσιν ἡμᾶς, δεικνύουσιν ἀναντιρρήτως, ὅτι ἀπὸ τῶν ἀρχαιοτάτων ἑλληνικῶν χρόνων μέχρι σήμερον οὐδ' ἐπὶ μίαν γενεὰν ἔπαυσέ ποτε κατοικουμένη ἡ Σῦρος· τὸ δὲ κατοικοῦν ταύτην στοιχεῖον, εἴτε ἐθνικὸν, εἴτε ἀνατολικὸν, εἴτε δυτικὸν τὴν θρησκείαν, οὐδέποτε ἔπαυσεν ὂν ἑλληνικόν. Ἀλλὰ περὶ τούτων ἴσως ἀλλαχοῦ πλείονα.

Περὶ δέ τινων παραδόσεων παρὰ τοῖς Συρίοις εἰς τὴν ἀρχαίαν Σῦρον ἀναφερομένων, εἰς ἃς ἀπέδωκαν ἄλλοι ἱστορικὸν κῦρος, οὐδὲν ἀξιοῦμεν νὰ εἴπωμεν, διότι πᾶσαί εἰσιν εἰκασίαι, μῦθοι καὶ φαντασίαι μεταγενέστεραι, γεννηθεῖσαι αἱ πλεῖσαι κατὰ τὸν μέσον αἰῶνα. Τοῦτο δὲ εἰς οὐδένα θέλει φανῇ παράδοξον ἐκ τῶν εἰδότων, ὅτι καὶ αὐτὴ ἡ σύγχρονος ἡμῖν ἐποχὴ ὑπῆρξε γονιμωτάτη εἰς παροχὴν ἀφθόνου περὶ Σύρου μυθολογικῆς ὕλης.

(11) Ἐνταῦθα ἀναφέρομεν τὰ μέρη, καθ' ἃ εὑρίσκονται σήμερον ἐπιγραφαὶ τῆς Σύρου ἐγχώριοι.

1. Δεκαὲξ ἐν τῇ συλλογῇ τοῦ Γυμνασίου Ἑρμουπόλεως (ἀρ. 4, 5, 6, 7, 13, 14, 17, 18, 19, 20, 21, 28, 29, 30, 35.—Ὑποσημ. 12, ἀρ. 3).

2. Πέντε παρὰ τῷ ἐν Σύρῳ προξένῳ τῆς Γαλλίας κ. Challet (ἀρ. 9, 10, 25, 33, 39).

3. Δεκατρεῖς τῇδε κἀκεῖσε ἐν Σύρῳ (ἀρ. 2, 15, 16, 23, 26, 27, 31, 32, 34, 36, 37.—Ὑποσ. 12, ἀ. 4, ὑποσ. 41, ἀ. 6).

## Α'. Πολιτικαὶ ἐπιγραφαί (12).

Ἐπειδὴ δὲ Πλάτωνι δοκεῖ δεῖν καὶ τὰς γυναῖκας τῶν αὐτῶν ἐπιτηδευμάτων μετέχειν τοῖς ἀνδράσιν, ἑπόμενόν ἐστι τὸ καὶ παιδείας αὐταῖς τῆς αὐτῆς μεταδεδωκέναι ἔν τε μουσικῇ καὶ ἐν γυμναστικῇ, ὥσπερ εἴρηται. Οὐ μὴν ἀλλ' ἐξαίρετον ἐποιήσατο τὸ τῶν ᾠδῶν. Βούλεται γὰρ αὐτὰς πρεπούσας ἑκατέρῳ γένει ἀποδιδόναι, τὸ μὲν μεγαλοπρεπὲς καὶ τὸ πρὸς τὴν ἀνδρείαν ῥέπον, ἀρρενωπὸν καλῶν, ἄρρεσι, τὸ δὲ πρὸς τὸ κόσμιον καὶ σῶφρον μᾶλλον ἀποκλῖνον θηλυγενέστερόν φησι καὶ θηλείαις ἀποδίδωσι[2]).

Συμπάσης δὲ τῆς ἐν μουσικῇ καὶ γυμναστικῇ παιδείας ἀρρένων τε καὶ θηλέων κατέστησεν ἕνα ὕπατον ἄρχοντα, ὃν ἐπιμελητὴν τῆς παιδείας προσαγορεύει. Τὴν δὲ ἀρχὴν ταύτην τίθησι τῶν ἐν τῇ πόλει ἀκροτάτων ἀρχῶν πολὺ μεγίστην. Διὸ δεῖ καὶ τὸν αἱρούμενον ἄξιον ταύτης εἶναι, τὸν ἄριστον τῶν ἐν τῇ πόλει, μὴ ἔλαττον πεντήκοντα ἐτῶν, παίδων γνησίων πατέρα, μάλιστα μὲν υἱέων καὶ θυγατέρων, εἰ δὲ μή, θάτερα[3]), ἔχοντα ἀκριβῆ ἐπιστή-

(1) Πλ. Νόμ. Ζ', 804 d. 813 b. c. Ἰδοὺ δὴ καὶ ἡ ἀναγκαία μαθητεία (Schulzwang) παρὰ Πλάτωνι, ᾗ τοὺς χρωμένους τανῦν λαοὺς δικαίως ἄν τις εὐδαιμονίσειε τοῦ δύνασθαι χρῆσθαι. Τὸ εἰς Σόλωνα ἀναφέρειν τὴν ἀναγκαίαν μαθητείαν οὔ μοι δοκεῖ πάνυ ὀρθὸν εἶναι. Ἦν γὰρ ὁ Σόλωνος νόμος ὁ περὶ τούτου συμβουλευτικός, οὐκ ἀναγκαστικός. (Schoemann griechische Alterthümer I Band. S. 518, 2 Auflage. Τὰ ἐν τῷ Κρίτωνι σ. 50 c. οὐκ ἐναντιοῦται τοῖς δε)· τὸ δὲ «ἐξ ἀνάγκης» τοῦ Πλάτωνος ποιεῖ τὴν ἀναγκαίαν μαθητείαν.

2) Πλ. Νομ. Ζ', 802 e.

3) Πλ. Νόμ. Ϛ', 765 d—766 b.

μην τῶν καθηκόντων αὐτῷ, ἵνα καὶ τοῖς ἄλλοις μηνυτής τε ἅμα καὶ τροφεὺς γίγνηται[1])· ἄρχειν δὲ ἐπὶ πέντε ἔτη, μεθ' ὃ νέον αἱρεῖσθαι· ἐξεῖναι δ' αὐτῷ ὑπὸ τοῦ νόμου προσλαμβάνειν εἰς ταύτην τὴν ἐπιμέλειαν οὓς ἂν ἐθέλῃ τῶν πολιτῶν, ἀνδρῶν καὶ γυναικῶν, οἷον παιδονόμους, ἐπιμελομένους κόσμου καὶ παιδείας καὶ φοιτήσεως εἰς τὰ διδασκαλεῖα καὶ γυμνάσια καὶ οἰκήσεων τῶν παίδων[2]).

Ἣν ἔμπροσθεν ἐκάλεσα ἠθικὴν παιδείαν, ὡρίσθω ἡ μέχρι τοῦ ἐκκαιδεκάτου ἔτους, οὐχ ὡς μόνως, ἀλλ' ὡς μάλιστα ἔθεσι τοῦ τῆς ψυχῆς ἤθους οὖσα παιδεία[3]) ἐν μουσικῇ γυμναστικῇ κεκραμένῃ. Τέταται δὲ καὶ παρ' αὐτὴν μέν, μάλιστα δὲ μετ' αὐτὴν διὰ τῆς ἐχομένης ἡλικίας πάσης ἡ ἐπιστημονικὴ παιδεία, ἧς ἐστι τὸ ἀναγαγεῖν τὴν ψυχὴν ἀπὸ τῶν αἰσθητῶν ὄντων τῶν γιγνομένων καὶ ἀπολλυμένων ἐπὶ τὴν θέαν τοῦ ὄντως ὄντος καὶ ἀεὶ κατὰ ταὐτὰ ἔχοντος, οὗ ἔστιν, ὡς ἔμπροσθεν διῆλθομεν, τὸ τέλος τοῦ ἀνθρώπου. Ἡ δὲ ἠθικὴ παιδεία ἐστὶν ἅμα ταύτης προοδοποιητική, καὶ πάντως δεῖ προϋπάρχειν, ἢ μηδὲ τῆς ἐπιστημονικῆς ἅπτεσθαι. Ἔστι γὰρ οὐδαμοῦ δεινὸν οὐδὲ σφοδρὸν ἀπειρία τῶν πάντων, οὐδὲ μέγιστον κακόν, ἀλλ' ἡ πολυπειρία καὶ πολυμαθία μετὰ κακῆς ἀγωγῆς γίγνεται πολὺ τούτων μείζων ζημία[4])· καὶ αὐτὸ τοῦτο ἀλλαχοῦ[5]) τὴν μεγίστην ἀμάθειαν ἀποκαλεῖ, τὸ ὑπὸ ἐπιστήμης εἰδέναι μέν, ὅ τι καλὸν καὶ ἀγαθόν ἐστι καὶ ὅ τι πονηρὸν καὶ ἄδικον, καὶ πάνυ λογιστικοὺς εἶναι καὶ πάντα τὰ κομψὰ καὶ ὅσα πρὸς τάχος τῆς ψυχῆς πέφυκε διαπεπονῆσθαι, διὰ δὲ κακὴν ἀγωγὴν τὸ μὲν πονηρὸν φιλεῖν τε καὶ ἀσπάζεσθαι, τὸ δὲ ἀγαθὸν μισεῖν· ἄνευ γὰρ συμφωνίας οὐδ' ἂν τὸ σμικρότατον εἶδος φρονήσεως γένοιτο. Τὸ δ' ἐκ τῆς πολυμαθείας μετὰ κακῆς ἀγωγῆς, δεινὸν ὄν, δεινότερον ἀποβαίνει, ἐὰν οἱ οὕτως ἔχοντες ἅμα εὖ πεφυκότες τυγχάνωσιν. Οἱ γὰρ τοιοῦτοι φύσει ἔχοντες ὀξεῖαν τὴν

1) Πλ. Νόμ. Ζ', 809.
2) Πλ. Νόμ. Ϛ', 764 d.
3) Sittlich-religiöse Erziehung.
4) Πλ. Νόμ. Ζ', 819 a.
5) Πλ. Νόμ. Γ', 689.

τῆς διανοίας ὄψιν, ὀξύτερον διορῶσι τὰ ἐφ' ἃ τέτραπται ἡ ὄψις αὐτῶν καὶ τοσούτῳ πλείω κακὰ οἷοί τ' εἰσὶν ἐργάζεσθαι[1]). Ὑπαρχούσης δὲ τῆς ἠθικῆς παιδείας οὕτω δὴ δεῖ σκοπεῖν τὰς φύσεις τῶν μελλόντων τῆς ἐπιστημονικῆς ἅψεσθαι. Μόνοις γὰρ τοῖς τὴν φύσιν ἐπιτηδείαν ἔχουσιν οἴεται δεῖν μεταδιδόναι ταύτης, οὓς καὶ βούλεται φύλακας τῆς πόλεως εἶναι. Ἐπιτηδείως δὲ πεφύκασιν, οἵ ἂν εὐμαθεῖς ὦσι καὶ μνήμονες καὶ ἀγχίνοι καὶ ὀξεῖς καὶ ὅσα ἄλλα τούτοις ἕπεται, καὶ αὖ νεανικοί τε καὶ μεγαλοπρεπεῖς τὰς διανοίας, οἷοι κοσμίως μετὰ ἡσυχίας καὶ βεβαιότητος ἐθέλειν ζῆν[2]). Ταῦτα δὲ ὀλιγάκις ἐθέλει εἰς ταὐτὸ συμφύεσθαι ἅμα, ἀλλ' οἱ μὲν ἐκεῖνα ἔχοντες ὑπὸ ὀξύτητος φέρονται ὅπῃ ἂν τύχωσι καὶ τὸ βέβαιον ἅπαν αὐτῶν ἐξοίχεται· οἱ δ' αὖ τὰ ἤθη βέβαια καὶ δυσκίνητα ἔχοντες, οἷς ἄν τις μᾶλλον ὡς πιστοῖς χρήσαιτο, ἔχουσιν ὡσαύτως καὶ πρὸς τὰς μαθήσεις δυσκινήτως, ὥσπερ ἀπονεναρκωμένοι, καὶ ὕπνου καὶ χάσμης ἐμπίπλανται. Εἰσὶ τοίνυν οἱ ἀμφότερα ἔχοντες σπάνιοι· καὶ τῆς παιδείας δὴ τῆς ἐπιστημονικῆς ὀλίγοις καὶ ἀριστίνδην μεθεκτέον ἐστί[3]).

Πρὸ δὲ τῆς ἐν τῇ θεωρίᾳ τῶν ὄντων διατριβῆς,— ἔστι δ' αὕτη ἡ ἐν φιλοσοφίᾳ σχολή, — ἀναγκαῖόν ἐστι προπαιδευθῆναι μαθήμασί τισιν, ἃ τὴν δύναμιν ἔχει περιάγειν τῆς ψυχῆς τὸ ὄμμα ἀπὸ τῶν δοξαστῶν πρὸς τὰ ἐπιστητά. Τοιαῦτα δ' ἐστὶ μαθήματα τὰ κοινῷ μὲν ὀνόματι μαθηματικὰ καλούμενα, ἰδίᾳ δὲ ἕκαστον αὐτῶν ἀριθμητικὴ καὶ λογιστική, γεωμετρία μετὰ στερεομετρίας, ἀστρονομία. Αἱ μὲν γὰρ ἄλλαι τέχναι καὶ πραγματεῖαι ἢ πρὸς δόξας ἀνθρώπων καὶ ἐπιθυμίας εἰσίν, ἢ πρὸς γενέσεις τε καὶ συνθέσεις, ἢ καὶ πρὸς θεραπείαν τῶν φυομένων τε καὶ συντιθεμένων[4]). Τὰ δὲ μαθηματικὰ ἐπιλαμβάνεταί τι τοῦ ὄντος, οὐ μέντοι οὐδ' αὐτὰ εἰλικρινῶς, ἀλλ' οἷον ὀνειρώττει περὶ αὐτό. Οἱ γὰρ περὶ ταῦ-

1) Πλ. Πολ. Ζ', 519 a.

2) Ἀτεχνῶς οἷον διαγράφει τὸ ἦθος τοῦ Θεαιτήτου (Θεαίτ. 144).

3) Πλ. Πολ. Ϛ', 503.

4) Πλ. Πολ. Ζ', 533. Τοῖς αὐτοῖς ἐνέχονται καί, ἃς πρότερον διήλθομεν, γυμναστικὴ καὶ μουσική· πλὴν ὅτι ἡ ὀρθὴ μουσικὴ τροφὴ ἐμποιεῖ ἐπιθυμίας καὶ δόξας ὀρθὰς καὶ ἀληθεῖς, πάντως μέντοι δόξας.

τα πραγματευόμενοι χρῶνται ὑποθέσεσι, περὶ ὧν οὐδένα λόγον οὔτε ἑαυτοῖς οὔτε ἄλλοις ἔτι ἀξιοῦσι διδόναι, ὡς παντὶ φανερῶν, ἃς καὶ ἀξιώματα καλοῦσιν· ἐκ τούτων δ' ἀρχόμενοι, τὰ λοιπὰ τῇ διανοίᾳ διεξιόντες ὀρθῶς, τελευτῶσιν ὁμολογουμένως ἐπὶ τοῦτο, οὗ ἂν ἐπὶ σκέψιν ὁρμήσωσιν. Ὅτι δὴ αἱ μὲν ἀρχαὶ αὐτῶν πισταὶ μόνον εἰσίν, ἀλλ' οὐκ ἐπιστηταί, τὸ δ' ἐκ τούτων πᾶν αὐτῶν νοήσει περαίνεται, διὰ τὴν σύμμικτον ταύτην φύσιν μεσεύει τῶν τε περὶ τὰ καθαρῶς νοητά, ἄνευ ὑποθέσεως αὐτῆς τῆς τοῦ παντὸς ἀρχῆς ἁπτομένων, καὶ τῶν περὶ τὰ δοξαστά. Ἔτι δὲ καὶ κατ' ἄλλο τι ἔχεται τῶν αἰσθητῶν τὰ μαθηματικά. Διανοούμενοι γὰρ περὶ τῶν ἀϊδίων σχημάτων, οἷον τριγώνου, προσχρῶνται οἱ μαθηματικοὶ ὁρωμένοις σχήμασι καὶ γράφουσι τοιαῦτα εἴδωλα ἐκείνων καὶ ποιοῦνται περὶ αὐτῶν τοὺς λόγους[1]).

Ἡ μὲν τοίνυν μεγίστη ἀξία τῶν μαθηματικῶν, ἄν τις εἰς ἀκρίβειαν αὐτῶν ἴῃ, ἐστὶ παρασκευάζειν τοὺς χρωμένους ἐπὶ τὴν τοῦ ἀληθῶς ὄντος ἐπιστήμην. Διὸ οὐδὲ χρὴ παντάπασιν αἰσθητοῖς χρῆσθαι, οὔτε διαγράμμασιν, οὔτε τοῖς ἐν τῷ οὐρανῷ συμβαίνουσιν· ἐπεὶ κἂν ὅτι κάλλιστα τὰ τοιαῦτα ἀπειργασμένα καὶ συνεστῶτα τυγχάνῃ, ἄτε αἰσθητῶν ὄντων καὶ σώματα ἐχόντων, οὐκ ἂν λάβοι τίς ποτε τἀληθὲς αὐτῶν ταύτῃ[2]).

Ἀλλὰ καὶ χωρὶς τῆς ἀκριβείας ταύτης τὰ μαθήματα ταῦτα, μάλιστα δὲ τὴν ἀστρονομίαν—αὕτη γὰρ σχεδὸν καὶ τἆλλα δύο συλλαβοῦσα ὑφ' ἑαυτῇ ἔχει — τίμια ἡγεῖται Πλάτων καὶ χρήσιμα, καὶ παντὶ ἐλευθέρῳ σπουδῆς ἄξια, εἰς τὸ δύνασθαι διαριθμεῖσθαι νύκτα καὶ ἡμέραν, Σελήνης δὲ καὶ Ἡλίου καὶ τῶν ἄλλων ἄστρων περιφορᾶς ἐμπείρως ἔχειν, ἵνα μὴ καταψευδώμεθα τῶν μεγάλων τούτων θεῶν, ὡς μηδέποτε τὸν αὐτὸν δρόμον ἰόντων, ἀλλὰ πάντῃ πλανωμένων, καὶ τῶν μὲν θᾶττον ὡς βράδιον, τῶν δ' ἐναντίως ὡς ἐναντίως κινουμένων. Ὃ γάρ φασιν οἱ πολλοὶ τὸν μέγιστον θεὸν καὶ ὅλον τὸν κόσμον οὔτε ζητεῖν δεῖν οὔτε πολυ-

1) Πλ. Πολ. Ϛ', 510 b—511 e. Ζ', 533 c.

2) Πλ. Πολ. Ζ', 525 c, d. 529 a—530 b.

πραγμονεῖν τὰς αἰτίας ἐρευνῶντας, ὡς οὐχ ὅσιον ὄν, ἐναντίως ἔχει[1]).

Ἐπὶ τούτοις καὶ τοῦτο ἔτι ἀξιόλογον τῶν μαθημάτων τούτων, ὅτι ποιεῖ τούς τε φύσει λογιστικοὺς εἰς πάντα τὰ μαθήματα ὀξεῖς φαίνεσθαι, οἵ τε βραδεῖς, ἄν ἐν τούτῳ παιδευθῶσι καὶ γυμνάσωνται, κἂν μηδὲν ἄλλο ὠφεληθῶσιν, ὅμως εἰς γε τὸ ὀξύτεροι αὐτοὶ ἑαυτῶν γίγνεσθαι πάντως ἐπιδιδόασιν[2]). Ἐν γὰρ τούτοις τοῖς μαθήμασιν ἑκάστου ὄργανόν τι τῆς ψυχῆς ἐκκαθαίρεταί τε καὶ ἀναζωπυροῦται ἀπολλύμενον καὶ τυφλούμενον ὑπὸ τῶν ἄλλων ἐπιτηδευμάτων, κρεῖττον ὂν σωθῆναι μυρίων ὀμμάτων[3]).

Τέλος δὲ καὶ τῆς εἰς τὸν πρακτικὸν βίον χρησιμότητος αὐτῶν ἄξιον ἐπιμνησθῆναι. Σχεδὸν γὰρ πᾶσαι τέχναι προσχρῶνται τούτοις[4]). Ἣν δὲ καὶ ταύτην διχῇ διαλάβωμεν, τὴν μὲν εἰς πόλεμον ἐλευθεριωτέραν ἡγεῖται Πλάτων, καὶ γὰρ τὴν τῶν πολεμικῶν ἄσκησιν τοῖς ἐλευθέροις προσήκειν[5]), τὴν δὲ εἰς καπηλείας καὶ γεωργίας καὶ ναυτιλίας καὶ τὰ τοιαῦτα φορτικωτέραν[6]). Ὅπου δὴ κελεύει δεῖν μὴ μόνον τὰ δημόσια νομίσματα καὶ μέτρα καὶ σταθμὰ ἔμμετρά τε εἶναι καὶ ἀλλήλοις σύμφωνα, ἀλλὰ καὶ πάντα τὰ ἴδια σκεύη, μῆκος αὐτῶν καὶ βάθος καὶ τὸν πρὸς ἄλληλα λόγον συντετάχθαι, ὥστε ἐν παντὶ ἔχειν ἀφορμὴν τοὺς πολίτας περὶ ἀριθμοὺς καὶ λογισμοὺς διατρίβειν, οὐχ οὕτω τοῦ ὠφελίμου χάριν ποιεῖ, ὡς τῆς ἀπὸ τούτων ἐγέρσεως τῆς διανοίας. Ψέγει δὲ τὴν ἀνελευθερίαν καὶ φιλοχρηματίαν, ἧς ἕνεκα μάλιστα ἐσπούδαζον Αἰγύπτιοι καὶ Φοίνικες περὶ τὰ μαθηματικά[7]).

Χρὴ δὲ προβάλλειν τὰ μαθηματικὰ παισὶν ἔτι οὖσιν, ἡ αὐτοῖς εὐληπτά ἐστι, τὸ δὲ ἀκριβὲς αὐτῶν εἰς ἀκμαίαν ἡλικίαν

---

1) Πλ. Νόμ. Ζ', 821—822. Ἐν τοῖς μαθηματικοῖς φαίνεται Σωκράτης, εἴπερ που καὶ ἀλλαχοῦ, οἷον διπρόσωπος Ἰανός, τῷ ἑτέρῳ φθεγγόμενος παρὰ Ξενοφῶντι (Ἀπομν. Δ, ζ, 56), τῷ δὲ ἑτέρῳ παρὰ Πλάτωνι ἐν τῇ Πολιτείᾳ.

2) Πλ. Πολ. Ζ', 526 b. Νόμ. Ε', 747 b.

3) Πλ. Πολ. Ζ' 527 e.

4) Πλ. Πολ. Ζ', 522 c.

5) Πλ. Πολ. Ζ', 522 d, e, 521 d. 526 d.

6) Πλ. Πολ. Ζ', 525 c. 527 d.

7) Πλ. Νόμ. Ε', 746 e—747 c.

ὑπερτίθεσθαι, εἰς τὸ ἑπτακαιδέκατον καὶ ὀκτωκαιδέκατον ἔτος, ὡς ἔοικε· τῇ δὲ ἐν τούτοις σπουδῇ τὸ τῆς παιδιᾶς σχῆμα περιτιθέναι, τὸ δὲ βίαιον καὶ ἐπάναγκες ὅσον ἐνδέχεται ἐξαιρεῖν· οὕτω γὰρ οἵ τε παῖδες ἑαυτῶν εὐμαθέστεροι γίγνονται καὶ τὰ μαθήματα ἔμμονα[1]). Ἐπαινεῖ δὲ τὴν παρ' Αἰγυπτίοις συνήθη μέθοδον τῆς διδασκαλίας. Ἦν γὰρ ἐκείνοις ἐξευρημένα μαθήματα τῶν παίδων χάριν τοῦ μετὰ παιδιᾶς καὶ ἡδονῆς μανθάνειν, περί τε λογισμοὺς μήλων διανομαὶ καὶ στεφάνων πλείοσιν ἅμα καὶ ἐλάττοσιν ἁρμοττόντων ἀριθμῶν τῶν αὐτῶν καὶ ἄλλα παραπλήσια, καὶ περὶ μετρήσεις, καὶ ὡς ἐν παιδιᾶς μέρει ἐξήρουν αὐτῶν τὴν περὶ ταῦτα ἐνοῦσαν φύσει τοῖς ἀνθρώποις γελοίαν τε καὶ αἰσχρὰν ἄγνοιαν[2]).

Μετὰ δὲ τὰ ἑπτακαίδεκα ἢ ὀκτωκαίδεκα ἔτη ἐν δυσὶν ἢ τρισὶν ἔτεσι μέχρι τῶν εἴκοσι τίθησι τὰ ἀναγκαῖα γυμνάσια, ὧν διὰ τὸ ἐπίπονον καὶ σκληρὸν ἀνάγκη παύεσθαι τῶν ἄλλων μαθημάτων. Κόποι γὰρ καὶ ὕπνοι μαθήμασι πολέμιοι[3]). Διαφέρει δὲ ταῦτα τῶν παιδείων ἐκείνων μόνον ὅτι ἐκεῖνα μὲν ἐλαφρότερά ἐστι καὶ τῆς παιδιᾶς τὸν τύπον ἔτι φέρει, ταῦτα δὲ τραχύτερα καὶ τὸν αὐστηρὸν σρατιωτικὸν χαρακτῆρα φέροντα.

Πρὸς τοῦτο δὲ χρὴ βλέπειν καὶ οὓς καθίστησι γυμνικοὺς ἀγῶνας, πολεμικὴν ἕξιν ἐμποιεῖν, καὶ ὅσα τῶν ἀγωνισμάτων πρὸς πόλεμόν ἐστιν, ἐπιτηδεύειν τε βούλεται καὶ ἆθλα νικητήρια τιθέναι, ὅσα δὲ μή, χαίρειν ἐᾶν. Τριττοὺς δὲ τίθησι τοὺς ἀγῶνας, τοὺς μὲν παίδων, τοὺς δὲ μειρακίων ἀγενείων, τοὺς δὲ ἀνδρῶν, θηλειῶν δέ, τοὺς μὲν ἀνήβων κορῶν, ἃς χρὴ γυμνὰς ἀγωνίζεσθαι, τοὺς δὲ τῶν τριακαιδεκετίδων μέχρι γάμου, σὺν πρεπούσῃ στολῇ ἐσταλμένων. Ἀγωνίσματα δὲ τίθησι δρόμον μὲν ἐνόπλιον, ἀλλ' οὐ ψιλόν, ἀντὶ δὲ πάλης τὴν ἐν τοῖς ὅπλοις μάχην, παγκρατίῳ δὲ τὴν πελταστικὴν ὅλην ἀνθίστησιν ἀμιλλωμένων τόξοις καὶ πέλταις καὶ λίθων βολῇ ἐκ χειρός τε καὶ σφενδόναις· ἔτι δὲ ἱπ-

1) Πλ. Πολ. Ζ', 536 d, e.
2) Πλ. Νόμ. Ζ', 819.
3) Πλ. Πολ. Ζ', 537 b.

πικοὺς ἀγῶνας οὐ μόνῳ δρόμῳ ἁμιλλωμένων, ἀλλὰ καὶ ὅπλοις ἀγωνιζομένων ἅμα[1]).

Εἰς δὲ τὰ μέχρι τοῦδε γυμνάσια καὶ μαθήματα προσήκει καταλέξαι καὶ τὴν θήραν· καὶ γὰρ ταύτην οὐδὲν ἧττον τῶν ἄλλων μαθημάτων ἡγεῖται συντείνειν εἰς παιδείαν[2]). Μέγιστα δὲ αὐτῆς δύο, χωρὶς τῆς περὶ ταύτην τερπνῆς διαγωγῆς, ἓν μέν, ὅτι γνωρίζουσι τὴν οἰκείαν χώραν διεξερευνώμενοι αὐτὴν θέρους καὶ χειμῶνος, ὅπερ οὐδενὸς ἔλαττον μάθημα ὑπολαμβάνει, τὸ διὰ ἀκριβείας ἐπίστασθαι πάντας τὴν ἑαυτῶν, ἓν δέ, ὅτι ἐμποιεῖ εὐψυχίαν καὶ εὐτολμίαν καὶ ἔστιν ἀρίστη μελέτη τῶν ἀληθινῶν πολεμικῶν ἀγώνων, οὐχ ὅλως ἀκίνδυνος οὖσα. Διὸ οὐδὲ πᾶσαν θήραν θηρεύειν ἐᾷ, πολυειδῆ οὖσαν, ἀλλ' ὅση ἔχει τὸ βελτίους ἀπεργάζεσθαι τὰς ψυχὰς τῶν νέων. Ἔστι δ' αὕτη ἡ τῶν τετραπόδων ἵπποις καὶ κυσὶ καὶ τοῖς ἑαυτῶν σώμασι, καὶ μόνους τοὺς τοιούτους θηρευτὰς ἐᾷ ὅπου καὶ ὅπῃ ἂν ἐθέλωσι κυνηγετεῖν· τὴν δὲ ἄρκυσι καὶ πλεκταῖς ἀποκωλύει, ὅτι δηλαδὴ τό τε σῶμα ἀργὸν ἐᾷ καὶ τὸ τῆς ψυχῆς ἦθος δολιώτερον καθίστησι. Τὴν αὐτὴν δὲ ἀργίαν σώματος καὶ ψυχῆς ἔχει καὶ ἡ τῶν ἐνύδρων θήρα· διὸ καὶ ταύτην ἀποδοκιμάζει, οὐ μέντοι νόμῳ. Τὴν δὲ τῶν ὀρνίθων ἐλευθέριον μὲν ἡγεῖται οὐδὲ ταύτην, ἐᾷ μέντοι θηρεύειν ἐν ἀργοῖς καὶ ὄρεσιν, ἐν δὲ ἐργασίμοις καὶ ἱεροῖς κωλύει[3]).

Ἡ δὲ διατελὴς αὕτη διατριβὴ περὶ γυμνάσια καὶ ἀγῶνας καὶ κυνηγέσια, ἄνευ τῶν εἰρημένων, καὶ τοῦτο ἔχει μέγα ἀγαθόν, ὅτι ἀμβλύνει τὸ κέντρον τῶν σωματικῶν ἐπιθυμιῶν, περὶ ὧν τῆς ἀποτροπῆς τῶν ἀθεμίτων καὶ ἀμέτρων ἱκανὰ ἐπραγματεύσατο ἐν τοῖς Νόμοις[4]) ἀναγνώσεως καὶ ἐπιστροφῆς ἄξια. Ἔτι δὲ δεῖ τὰ γυμνάσια ταῦτα καὶ βάσανον γίγνεσθαι τῶν γενναιοτάτων καὶ καρτερικωτάτων, οὓς, ἂν καὶ ἐν τοῖς ἄλλοις μαθήμασιν ἐντρεχέστατοι ἀεὶ φαίνωνται, εἴκοσιν ἔτη γεγονότας, ἀποκρίνει Πλάτων τῶν ἄλλων καὶ παιδεύει ὡς ἄρχοντας ἐσομένους.

---

1) Πλ. Νόμ. Η', 832 e—834 d.
2) Πλ. Νόμ. Ζ', 763 a, b. Πολ. Γ', 412 b.
3) Πλ. Νόμ. Ζ', 823 b—824 b.
4) Πλ. Νόμ. Η', 836—842.

Κελεύει οὖν τούτοις μείζους τιμὰς ἀποδιδόναι πρεπούσας, καὶ τὰ χύδην μαθήματα παισὶν ἐν τῇ παιδείᾳ γενόμενα τούτοις συνάγειν εἰς σύνοψιν οἰκειότητος ἀλλήλων τῶν μαθημάτων καὶ τῆς τοῦ ὄντος φύσεως[1]). Μόνη γάρ, φησιν, ἡ τοιαύτη μάθησις βέβαιος, ἐν οἷς ἂν ἐγγένηται. Καὶ μεγίστη δ' ἔτι πεῖρα διαλεκτικῆς φύσεως καὶ μή. Τὴν γὰρ διαλεκτικὴν ποιεῖται οἷον θριγκὸν τῶν μαθημάτων, ἧς χάριν τὰ ἄλλα μαθήματα ἐν προπαιδείας μέρει τίθεται[2]). Χρὴ δὲ ἐμμένειν ἐν τῇ συνοπτικῇ ταύτῃ μελέτῃ μέχρι τοῦ τριακοστοῦ ἔτους[3]).

Τῶν δὲ τριακοντούτων γενομένων, δοκιμασθέντων πάλιν, ὁποῖοι γεγόνασι καὶ ἐν ταύτῃ τῇ παιδείᾳ, οἱ προκριθέντες μειζόνων τε τιμῶν τυγχάνουσι, καὶ ἤδη ἐπιχειροῦσι τῇ διαλεκτικῇ καὶ μένουσι μεταλαμβάνοντες αὐτῆς ἐνδελεχῶς καὶ συντόνως, οὐδὲν ἄλλο ποιοῦντες, ἔτη πέντε[4]). Πρὸ δὲ τοῦ τριακοστοῦ ἔτους ἐπισφαλὲς ἡγεῖται ἅπτεσθαι τῆς διαλεκτικῆς. Ἡ γὰρ δύναμις καὶ ἡ σπουδὴ αὐτῆς ἐστι τὰς τέως κυρίας δόξας ἀληθεῖς τε καὶ μὴ καταβάλλειν, ὑπεξαιροῦσαν τὴν κρηπῖδα αὐτῶν. Συμβαίνει ἄρα μὴ μόνον τὰ Ὁμήρου, ὅσα ἔμπροσθεν ἐμέμψατο Πλάτων, καὶ ὅσα τῶν ἄλλων ποιητῶν παρόμοιά ἐστιν, ὑπὸ τῆς διαλεκτικῆς σαθρὰ ὄντα ἐξελέγχεσθαι, ἀλλὰ καὶ τοιαῦτα, οἷα τὰ σεμνὰ ἰαμβεῖα τοῦ θεσπεσίου ποιητοῦ τάδε·

«Οὐ γὰρ τί μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε,
οὐδ' ἡ ξύνοικος τῶν κάτω θεῶν Δίκη.
οὐδὲ σθένειν τοσοῦτον ᾠόμην τὰ σὰ
κηρύγμαθ', ὥστ' ἄγραπτα κἀσφαλῆ θεῶν
νόμιμα δύνασθαι θνητὸν ὄνθ' ὑπερδραμεῖν.
οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε
ζῇ ταῦτα, κοὐδεὶς οἶδεν, ἐξ ὅτου 'φάνη»[5]).

---

1) Πλ. Πολ. Ζ', 537 c. 531 d. Οὐκ ἔστι τοῦτο παραπλήσιον τῇ ταινῦν ἐλλογίμῳ Concentration des Unterrichts;
2) Πλ. Πλ. Ζ', 534 e.
3) Πλ. Πολ. Ζ', 537 d.
4) Πλ. Πολ. Ζ', 539 e.
5) Σοφοκλ. Ἀντιγ. 450—455.

μηδὲ ταῦτα ὑπομένειν τὴν ῥύμην τῆς διαλεκτικῆς. Καὶ ἐνταῦθα ἤδη φανερός ἐστιν ὁ μέγας κίνδυνος ὁ ἐκ τῆς διαλεκτικῆς τοῖς νέοις. Ἐννοήσαντες γὰρ ὅτι τοιοῦτον ἄμαχον ὅπλον οὖσα τυγχάνει, καταχρῶνται ὡς παιδιᾷ ἀεὶ εἰς ἀντιλογίαν, καὶ μιμούμενοι τοὺς ἐξελέγχοντας, αὐτοὶ ἄλλους ἐξελέγχουσι, χαίροντες, ὥσπερ σκυλάκια, τῷ ἕλκειν τε καὶ σπαράττειν τῷ λόγῳ τοὺς πλησίον ἀεί[1]), ἢ κατ' ἄλλην εἰκόνα, ὥσπερ οἱ τὰ σκολύθρια τῶν μελλόντων καθιζήσεσθαι ὑποσπῶντες χαίρουσι καὶ γελῶσιν, ἐπειδὰν ἴδωσιν ὕπτιον ἀνατετραμμένον[2]). Ὅταν δὴ πολλοὺς μὲν αὐτοὶ ἐλέγξωσιν, ὑπὸ πολλῶν δ' ἐλεγχθῶσι, σφόδρα καὶ ταχὺ ἐμπίπτουσιν εἰς τὸ μηδὲν ἡγεῖσθαι ἀληθὲς εἶναι· οὔτε γὰρ ταῦτα, ἃ πρότερον ἐνόμιζον ἀληθῆ, ἔτι ὡς τοιαῦτα τιμῶσιν, οὔτε τὰ ὄντως ἀληθῆ εὑρίσκουσι· συμβαίνει δὴ τοὺς τοιούτους ἀνόμους καὶ ἀθέους γίγνεσθαι. Καὶ τούτων πικρὰ ἔχων παραδείγματα Πλάτων, ἐπὶ γήρως ὁδῷ ἤδη ὤν, ὅτε εἰκὸς αὐτὸν μὲν ὅ τι ἐγγυτάτω τοῦ θείου γεγονέναι, τοὺς δ' ἀεὶ ἐπιγιγνομένους τῶν προγεγενημένων μᾶλλον ἀποθέους ἐπιτρέφεσθαι, τῆς πόλεως ἀεὶ κατολισθαινούσης, ἐν τοῖς Νόμοις[3]) ποθεῖ τὸ πιστὸν καὶ ἀνυπονόητον τῶν παλαιῶν, προτιμῶν, ὡς ἔοικε, τὸ διὰ βίου πάντας δοξάζειν περὶ τὰ ὄντα δόξας ἀληθεῖς, καίπερ περὶ τῶν τοιούτων ἐν τῇ Πολιτείᾳ λέγων τὸν νῦν βίον ὀνειροπολοῦντας καὶ ὑπνώττοντας, πρὶν ἐνθάδε ἐξεγρέσθαι, εἰς Ἅιδου πρότερον ἀφικομένους τελέως ἐπικαταδαρθάνειν[4]).

Εἰς μὲν δὴ τὰ τοιαῦτα ταχὺ ἐμπίπτουσιν ὅσοι νέοι ἢ κακῶς προπαιδευθέντες[5]) ἅπτονται τῆς διαλεκτικῆς. Ὁ δὲ πρεσβύτερος καὶ τὸ ἦθος κόσμιος καὶ βέβαιος τῆς μὲν τοιαύτης μανίας οὐκ ἂν ἐθέλοι μετέχειν, τὸν δὲ διαλέγεσθαι ἐθέλοντα καὶ σκοπεῖν τἀληθὲς μᾶλλον μιμήσεται ἢ τὸν παιδιᾶς χάριν παίζοντα καὶ ἀντιλέ-

---

1) Πλ. Πολ. Ζ', 539 b.
2) Πλ. Εὐθύδ. 278 c.
3) Πλ. Νόμ. Ι', 887 c—888 c.
4) Πολ. Ζ', 534 c, d.
5) Διαφέρει γὰρ οὐθὲν νέος τὴν ἡλικίαν ἢ τὸ ἦθος νεαρὸς (Ἀριστ. Ἠθ. Νικ. 1).

γοντα[1]). Οὐ γὰρ καθαιρεῖ ἡ διαλεκτικὴ τοῦ καθαιρεῖν ἕνεκα, πλὴν τάς γε ψευδεῖς δόξας, ἀλλ' ἵνα ἀναστήσῃ βεβαιότερα καὶ ὑπερηφανώτερα, τὴν τῆς ἐπιστήμης κρηπῖδα ὑποτιθεῖσα. Πορεύεται γὰρ μετὰ τὴν ἀναίρεσιν τῶν ἀλόγων ὑποθέσεων ἐπ' αὐτὴν τὴν ἀρχὴν τοῦ παντός, ἵνα βεβαιώσηται, καὶ ὡς ἐν βορβόρῳ βαρβαρικῷ τινι τὸ τῆς ψυχῆς ὄμμα κατορωρυγμένον ἠρέμα ἕλκει καὶ ἀνάγει ἄνω, συνερίθοις καὶ συμπεριαγωγοῖς χρωμένη τοῖς μαθηματικοῖς[2]). Ἁψαμένη δὲ τῆς ἀνυποθέτου ἀρχῆς, πάλιν αὖ ἐχομένη τῶν ἐκείνης ἐχομένων, οὕτως ἐπὶ τελευτὴν καταβαίνει[3]). Γίγνονται δὴ ταύτῃ αἱ μὲν πρότερον ἀληθεῖς δόξαι νῦν ἐπιστῆμαι, αἱ δὲ ψευδεῖς ἐῶνται κατακεῖσθαι.

Τὸ δὲ ἀξίωμα τῆς διαλεκτικῆς καὶ ὅλως τῆς φιλοσοφίας— σχεδὸν γὰρ ταὐτόσημά ἐστι παρὰ Πλάτωνι— ἄλλως τε καὶ παρὰ τὴν τῶν πολλῶν ἄσοφον καὶ ἄμουσον ἕξιν παραβαλλόμενον, ἐναργὲς ἡμῖν ἐποίησε Πλάτων εἰκόνι ἀφελεῖ μὲν καὶ νηφούσῃ, εὐστόχῳ δέ[4])· ἣν διὰ μῆκος οὐ δύναμαι παραθέσθαι ἐνθάδε.

Ἐκ δὲ τῆς εἰκόνος ταύτης καὶ τὸ τῶν μαθηματικῶν καὶ τῆς διαλεκτικῆς καὶ φιλοσοφίας, σαφέστερον γίγνεται, ἥν τινα δύναμιν ἔχει ἑκάτερα. Ἐκεῖνα μὲν δύναται λύειν τὴν ψυχὴν ἀπὸ τῶν δεσμῶν καὶ μεταστρέφειν τὸ ὄμμα αὐτῆς ἀπὸ τῶν σκιῶν πρὸς αὐτὰ τὰ τὰς σκιὰς ῥίπτοντα καὶ ἀνάγειν ἐκ τοῦ καταγείου εἰς τὸ τοῦ ἡλίου φῶς, ἡ δὲ διαλεκτικὴ καὶ φιλοσοφία ἀναγκάζει αὐτὴν αὐτὸ τὸ ἡλιακὸν φῶς ὁρᾶν καὶ τὰ ἐν αὐτῷ ὄντα, καὶ τέλος ἀποβλέπειν πρὸς αὐτὸν τὸν ἥλιον[5]).

Γενομένους δὲ πέντε καὶ τριάκοντα ἔτη χρὴ τοὺς οὕτω τεθραμμένους καταβαίνειν πάλιν εἰς τὸ σπήλαιον ἐκεῖνο παρὰ τοὺς δεσμώτας καὶ ἄρχειν ἐκείνοις τὰ περὶ τὸν πόλεμον καὶ ὅσαι νέων ἀρχαὶ ἐπὶ πεντεκαίδεκα ἔτη, ἵνα μηδ' ἐμπειρίᾳ ὑστερῶσι τῶν ἄλ-

---

1) Πλ. Πολ. Ζ', 539 c.
2) Πλ. Πολ. Ζ', 533 d.
3) Πλ. Πολ. ΣΤ', 511 b.
4) Πλ. Πολ. Ζ', 514—518 d.
5) Πλ. Πολ. Ζ', 532 a, b, c.

λων[1]). Τοῦτο γὰρ μάλιστα ἔχει τὴν αἰτίαν τῆς διαβολῆς τῆς ἐπιστημονικῆς παιδείας παρὰ τοῖς πολλοῖς, ὅτι ὁ ταύτην πεπαιδευμένος, ἀτριβὴς ἔτι ὢν καὶ τὴν δυσκολίαν παντὸς ἔργου, εἰ μέλλει εὐθυπορήσειν, συνειδώς, εὐλαβῶς ἁπτόμενος αὐτοῦ, διάδηλος γίγνεται προσπταίων ἐν τῇ μεταχειρίσει. Ὁ δὲ τυφλὸς ἐπιστήμης, τριβῇ δὲ πολυχρονίῳ κεχρημένος, μηδὲν δὲ εὐλαβούμενος, ἅτε μὴ εἰδώς, μηδ' ὑποπτεύων μήτε ἕρματα μήτε σκοπέλους, ἐρρωμένως δράττεται παντὸς καὶ εὐκόλως μεταχειρίζει. Οὕτω δὴ εἰ δέοι διαγωνίζεσθαι αὐτοὺς ἐν τοῖς πολλοῖς, οὐδαμοῦ ἂν φανείη ὁ ἐπιστημονικός. Τὸ δ' ἀληθὲς εἰπεῖν, ἀμφότεροι μὲν οὕτως ἔχοντες οὐ πάνυ χρήσιμοί εἰσιν, εἰ καὶ πᾶς που σπουδαῖος τὸ μὲν εὐλαβὲς ἐκείνου στέρξειεν ἂν καὶ συγγνοίη, τούτου δ' ἂν δυσχεράνειε τὸ θρασὺ καὶ φορτικόν· ὅ γε μὴν μέγιστον, συμβαίνει τὸν μὲν ἐπιστήμονα, ὁτῳοῦν ἐπιχειροῦντα, σὺν βραχείᾳ μελέτῃ τοῦ πράγματος ἐγκρατῆ γίγνεσθαι· αὐτὸς γὰρ εὑρήσει πόθεν καὶ πῶς ἁπτόμενος τὴν μελέτην ἁπλανῶς ποιεῖσθαι δυνήσεται, καὶ ἅμα συνειδὼς τὴν ἀπειρίαν, αὐτὸς ἑαυτὸν ἐπείγει· τὸν δὲ τρίβωνα ἐκεῖνον οὔτε γνῶσις ἀγνοίας ἐπείγουσα βιάζεται, οὔτε εὔκαιρον τὴν ἐπιστήμην λαβεῖν, ὁπηνίκ' ἂν αὐτῷ δόξῃ.

Ἡ τοίνυν ἀτέλεια ἡ ἐκ τῆς ἀπειρίας οὐκ ἔλαθε Πλάτωνα. Διὸ βούλεται ἀναστρέφεσθαι πεντεκαίδεκα ἔτη ἐν τοῖς πολλοῖς καὶ ταῖς πραγματείαις αὐτῶν, καὶ ἅμα βασανίζεσθαι καὶ ἐν τούτῳ, ὁποῖοι γενήσονται.

Πεντηκοντούτων δὲ γενομένων τοὺς ἀριστεύσαντας πάντα πάντῃ ἐν ἔργοις τε καὶ ἐπιστήμαις πρὸς τέλος ἤδη ἀκτέον καὶ ἀναγκαστέον ἀνακλίναντας τὴν τῆς ψυχῆς αὐγὴν εἰς αὐτὸ ἀποβλέψαι τὸ πᾶσι φῶς παρέχον, καὶ ἰδόντας τὸ ἀγαθὸν αὐτό, παραδείγματι χρωμένους, καὶ πόλιν καὶ ἰδιώτας καὶ ἑαυτοὺς κατακοσμεῖν τὸν ἐπίλοιπον βίον ἐν μέρει ἑκάστους, τὸ μὲν πολὺ πρὸς φιλοσοφίαν διατρίβοντας, ὅταν δὲ τὸ μέρος ἥκῃ, πρὸς πολιτικοῖς ἐπιταλαιπωροῦντας καὶ ἄρχοντας ἑκάστους τῆς πόλεως ἕνεκα, οὐχ ὡς καλόν τι, ἀλλ' ὡς ἀναγκαῖον πράττοντας, καὶ οὕτως ἄλλους ἀεὶ

1) Πλ. Πολ. Ζ', 539 e.

παιδεύσαντας τοιούτους, ἀντικαταλιπόντας τῆς πόλεως φύλακας, εἰς μακάρων νήσους ἀπιόντας οἰκεῖν· μνημεῖα δ' αὐτοῖς καὶ θυσίας τὴν πόλιν δημοσίᾳ ποιεῖν, ἐὰν καὶ ἡ Πυθία ξυναναιρῇ, ὡς δαίμοσιν, εἰ δὲ μή, ὡς εὐδαίμοσί τε καὶ θείοις[1]).

Τοιούτους δὴ βούλεται Πλάτων τοὺς δυναστεύοντας ἐν τῇ ἑαυτοῦ πόλει πεφυκέναι τε καὶ τετράφθαι, παρισωμένους ἀρετῇ καὶ ὡμοιωμένους μέχρι τοῦ δυνατοῦ τελέως ἐν ἔργῳ τε καὶ λόγῳ ἐν πόλει ἑτέρᾳ τοιαύτῃ.

ΣΠΥΡΙΔΩΝ ΜΩΡΑΪΤΗΣ.

---

## ΓΡΑΜΜΑΤΟΛΟΓΙΑ ΥΠΟ ΘΕΟΔΩΡΟΥ ΒΕΡΓΚ (*).

Μηνὶ Μαΐῳ τοῦ 1872 εἶδε τέλος πάντων τὸ δημοσιογραφικὸν φῶς τὸ ἐναγωνίως ὑπὸ τοῦ φιλολογικοῦ κόσμου ἀναμενόμενον φιλοπόνημα τοῦ Θοεδώρου Βέργκ, ἡ *Ἱστορία τῶν Ἑλληνικῶν γραμμάτων* (τόμος πρῶτος). Μέγα δ' ὡς εἰκὸς ἅμα τῇ ἐμφανίσει αὐτοῦ ἤγειρε τὸ φιλολογικὸν διάφορον τὸ νέον τοῦτο προϊὸν τοῦ καλάμου τοῦ Βέργκ, ὅς τις ἔχει τὸ χάρισμα ὅ,τι καὶ ἂν ἀναλαμβάνῃ ἐν ταῖς χερσὶ νὰ περιβάλληται τὸν δημιουργικὸν τύπον. Ὡς τοιοῦτον ἐχαρακτήριζε τὸν συγγραφέα ἀπὸ τῆς ἕδρας καὶ ἐν ἰδιαιτέραις ὁμιλίαις ὁ ἀείμνηστος Βοίκχιος· ὡς τοιοῦτον συνιστῶσι τὸν ἄνδρα αἱ ἀπειροπληθεῖς διατριβαὶ αὐτοῦ, αἱ τὰ πολλὰ καὶ ποικίλα περιοδικὰ τῆς Γερμανίας, μάλιστα δὲ τὰ φιλολογικά, κατακοσμοῦσαι.

Ἀφ' οὗ μέχρι τοῦ νῦν ἐκράτησεν ἡ γνώμη ἐν τῇ ἐπιστήμῃ, καθ' ἣν ὁ Ὅμηρος δὲν ὑπολαμβάνεται τόσον ἱστορικὸν πρόσωπον, ὅσον τὰ ποιήματα αὐτοῦ ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια, ἀφ' οὗ τὴν γνώμην ταύτην ἠσπάσαντο οἱ διαπρεπέστεροι τῶν φιλολόγων,

---

1) Πλ. Πολ. Ζ', 540 a, b, c.

(*) «Griechische Literatur geschichte von Theodor Bergk. Erster Band. Berlin, Weidmanische Buchhandlung»

οἷοι ὁ Φρειδερῖκος Αὔγουστος Οὐόλφιος, ὁ Γοδοφρεῖδος Ἑρμᾶννος, ὁ Λαχμᾶννος, ὁ Κιρχὸφ καί τι καὶ ὁ Γρότε, νῦν ἐν τῇ προαγγελθείσῃ *Ἱστορίᾳ τῶν Ἑλληνικῶν γραμμάτων* σπουδαία ἐγείρεται ἡ φωνὴ ὑπὸ τοῦ Βὲργκ κατὰ τῆς δοξασίας τῶν προειρημένων, ἤτοι ὑπ' ἀνδρὸς συγκαταλεγομένου εἰς τοὺς κορυφαίους ἱερομύστας τῆς ἐπιστήμης. Ἐν τῷ πρώτῳ λοιπὸν τόμῳ παρὰ τὴν εἰσαγωγὴν, ἀφορῶσαν εἰς τὴν Ἑλληνικὴν χώραν καὶ τὸν Ἑλληνικὸν λαὸν, πραγματεύεται ὁ συγγραφεὺς τὸ περὶ γλώσσης καὶ γραφῆς ζήτημα, τὴν μυθολογίαν, τὰ περὶ ἱερῶν, τὰ ἴχνη τῆς παναρχαίου ποιήσεως καὶ τοὺς μυθολογουμένους ἐκπροσώπους αὐτῆς μέχρι τῆς σελίδος 407, τὴν ἀρχαιοτάτην ἐπικὴν ποίησιν τ. ἔ. τὰ Ὁμηρικὰ καὶ τὰ Ἡσιόδεια ἔργα, τὰ πρῶτα κυρίως ἐξετάζει ἀπὸ σελ. 440—913. Τὸ δὲ πάντων παραδοξότατον, μάτην ζητεῖ ὁ ἀναγνώστης ἐν τῷ συγγράμματι τοῦ Βὲργκ νὰ προσανατολισθῇ ὡς πρὸς τὰς νεωτέρας περὶ τῆς κριτικῆς, καὶ καθ' ὅλου περὶ τοῦ Ὁμηρικοῦ ζητήματος πραγματείας· διότι ὁ συγγραφεὺς ἀδιαφορῶν πρὸς ταύτας ἐκτίθησι τὰς ἰδίας ἐπόψεις. Ἡ δὲ τάσις, εἰς ἣν ἀνήκει ὁ Βέργκ, καθίσταται ὅλως δυσπροσδιόριστος, διότι ἀναφαίνεται συντηρητικώτερος μὲν τῶν συντηρικῶν καὶ μᾶλλον ἀρνησιόμηροστῶν ἀρνησιομήρων· διότι ὑπολαμβάνει τὸν Ὅμηρον γραπτῶς συνθέντα τὴν Ἰλιάδα· μᾶλλον δ' ἀρνησιόμηρος, διότι τὰ δύο τριτημόρια τῆς Ἰλιάδος καταδικάζει νοθείας. Ὅτι δὲ τοιαύτη σύζευξις τῶν διεστωσῶν τάσεων ἄγει εἰς εὐχάριστον λύσιν τοῦ Ὁμηρικοῦ ζητήματος, καὶ μάλιστα εἰς συνεπῆ διαμόρφωσιν τοῦ συστήματος, οἷον εὕρηται παρὰ Λαχμάννῳ, τοῦτο ἀποβαίνει ὀλίγον πιθανὸν, ἐὰν κατ' ἐξοχὴν παραβληθῇ ἡ ὑπὸ τοῦ Βὲργκ ἀνάλυσις τῆς Ἰλιάδος πρὸς τὴν ὑπ' αὐτοῦ τούτου ἐκτεθειμένην χρονολογίαν. Ὅθεν κατὰ ταῦτα ἡ ἀρχικὴ Ἰλιὰς, ἡ οὐδὲν ὅμως τὸ κοινὸν πρὸς τὴν τοῦ Γρότε ἔχουσα [1], συνετάχθη ὑπὸ τοῦ Ὁμήρου ἔτει 943 καὶ

(1) Ὁ Γρότε ὁρμᾶται ἐκ τῆς ἀρχῆς, ὅτι ἐν τῇ Ἰλιάδι ὑπολανθάνει ἀρχικός τις σκελετὸς, ὅστις μετὰ ταῦτα πληρωθεὶς καὶ περισαρκωθεὶς τρόπον τινὰ ὑπὸ ξένων χειρῶν, ἀπώλεσε τὴν κατὰ πρῶτον σχεδιογραφηθεῖσαν ὑφ' ἑνὸς συμμετρίαν του. Τὸν ἀρχικὸν τοῦτον σκελετὸν (τὴν Α-

δὴ ἐπὶ περγαμηνῆς, ἢ κάλλιον ἐπὶ δορᾶς ζώου, ἅ τε τῆς λέξεως περγαμηνῆς νεωτερικώτερον ἠχούσης. Ἡ δ' ἁπλῆ οἰκονομία τοῦ ἀρχικοῦ ποιήματος εὐχερῶς ἐπέτρεπεν ἐπαυξήσεις, ὃ ἐπωφελοῦντο οἱ μαθηταὶ καὶ μιμηταὶ τοῦ Ὁμήρου ὅπως τὰ ποιητικὰ αὐτῶν προϊόντα ἐγκατελέγωσι τῷ λαμπροτάτῳ ἔπει. Μετέπειπα δὲ ἐπεξειργάσθη τὸ ὅλον διασκευαστής, ἐξεφανίσας μεγάλα τεμάχια γνησίας ποιήσεως καὶ ἀναπληρώσας αὐτὰ διὰ ἰδίων ἐργασιῶν. Πρῶτον μετὰ τὴν προεισαγωγικὴν ταύτην συναποτελείωσιν συνετάχθησαν αἱ ῥαψῳδίαι Ψ καὶ Ω καὶ μετ' αὐτὰς προςετέθη ὁ Κατάλογος τῶν Νεῶν, ὃν ἐν τούτοις προσφυῶς γνωματεύει ὁ Βέργκ σχόντα τὴν ἀρχὴν ἐκ παλαιτέρου ποιήματος, οὗ ὑπόθεσις ὁ ἐξ Αὐλίδος ἀπόπλους. Ἡ οὕτω λοιπὸν κατ' οὐσίαν μέχρι τῆς παρούσης αὐτῆς καταστάσεως περιελθοῦσα Ἰλιὰς ὑπέστη τελευταῖον καί τινας βραχυτέρας διασκευάς. Πᾶσαι δ' αὗται αἱ βίαιαι ἀλλοιώσεις, αἵτινες προϋποτιθεμένης στοματικῆς διαδόσεως τῶν ποιημάτων ἀπῄτουν ἴσως ἑκατονταετηρίδας, φαίνεται, ὅτι ἀνεξαρτήτως τῆς γραπτῆς συνθέσεως τοῦ ἔργου συναπετελέσθησαν ἐν τεσσαράκοντα ἔτεσιν. Διασκευὴν δῆλον ὅτι τοῦ Καταλόγου τῶν Νεῶν, ἐν ᾗ ὁ Βέργκ εὑρίσκει ὑπαινιγμὸν τῆς ἀκμῆς τῆς θαλασσίας δυνάμεως τῶν Ῥοδίων, τίθησιν εἰς τὸ ἔτος 900. Ὡςαύτως ἠδύνατό τις νὰ ὑποβάλῃ καὶ τὸ 920, ἐπειδὴ ἡ θαλασσία ἐκείνη ἡγεμονία τίθεται ἐν τοῖς ἔτεσι 928 — 905, καὶ τῷ ὑπαινιγμῷ ὑπάρχει πρόχειρος πλείων ἀφορμὴ διαρκοῦντος τοῦ χρόνου τῆς ἀκμῆς μετὰ ταῦτα. Ἐν τούτοις, ὅπως ποτ' ἂν ᾖ, ἀναγκαζόμεθα νὰ παραδεχθῶμεν, ὅτι ἅπασαι, ἢ τοὐλάχιστον αἱ πλεῖσται ἀλλοιώσεις καὶ διαφθοραὶ τῆς Ἰλιάδος ἐπερατώθησαν ἔτι ὑπὸ τὰ ὄμματα τοῦ Ὁμήρου, ἂν ἄλλως τῷ ποιητῇ τούτῳ ἦτο ἐπικεκλωσμένη μεσαία ἡλικία τῆς ζωῆς. Ὅθεν εἶναι πολὺ πιςευτὸν, ὅτι εἰς τὴν πρώτην ἐπέκτασιν τῶν ποιήσεών του συνῄνεσε καὶ αὐτός· διότι σχολιακὴ ἐργασία, ὡς ὁ Ἕκτορος ἀπὸ τῆς Ἀνδρομάχης

---

χιλῃδα) ἀπῄρτιζον κατὰ τὸν Γρότε αἱ ῥαψῳδίαι Α, Θ, Λ, Μ, Ν, Ξ, Ο, Π, Ρ, Σ, Τ, Υ, Φ, Χ, ἴδε Δ. Θερειανοῦ Νύξεις περὶ τοῦ Ὁμηρικοῦ ζητήματος 57 κ. ἑ.

ἀποχωρισμὸς, ἔπρεπε νὰ ὑπολαμβάνηται ὑπ' αὐτοῦ ὡς πραγματικὸς πλουτισμὸς τῆς Ἰλιάδος. Ἧττον ὅμως καθίσταται πιστευτὸν, ὅτι ἴσια ἴσια ὁ περιώνυμος οὗτος ἀποχωρισμὸς εἶναι ἔργον μαθητοῦ, ἢ μιμητοῦ. Ὅτι δὲ ὁ Βέργκ περὶ πολλοῦ ποιεῖται ὑπὲρ τῆς ὑποθέσεώς του, ὅτι δηλ. φαίνεται ἀνάρμοστον ἐν κρισίμῳ στιγμῇ νὰ ἐγκαταλείψῃ τὴν μάχην ὁ Ἕκτωρ, ἐν ᾧ πᾶς ἄλλος ἠδύνατο νὰ πληρώσῃ τὴν παραγγελίαν τῇ Ἑκάβῃ, τοῦτο τοῖς ὀλιγίστοις θὰ ἐφαίνετο ἱκανῶς σπουδαῖον πρὸς δικαιολογίαν τοιαύτης παραδόξου ἀθετήσεως, μάλιστα θὰ εὕρισκέ τις τὸν ἀναφερόμενον λόγον οὐ μόνον πολὺ ὀλίγον σπουδαῖον, ἀλλ' ἐν γένει οὐδὲ λόγον ὄντα. Ἐπὶ τῇ ὑποθέσει, ὅτι εἶναι ἀπρεπὲς τὸ νὰ ἀνεχθῇ ὁ Ἕκτωρ ν' ἀναχωρήσῃ τῆς μάχης, τίς ὁ λόγος ὅπως τὸ ἀπρεπὲς τοῦτο, ἅ τε ἀνάξιον ὂν τοῦ Ὁμήρου, προσαφθῇ τῷ ποιητῇ τοῦ ἀποχωρισμοῦ; Δεικνύει ἄρα οὗτος ταπεινότερον αἴσθημα ὑπὲρ τοῦ εὐπρεποῦς, ἢ ἄλλος τις τῶν ποιητῶν καὶ τοῦ Ὁμήρου αὐτοῦ μὴ ἐξαιρουμένου; Ἡ μοναδικὴ διέξοδος, ἡ τὴν ἀπορίαν ἐπιλύουσα, τὸ νὰ ὑποτεθῇ, ὅτι πρῶτον ἐπιγενέστερος διατάκτης ἐγκαθήρμοσε τὴν σκηνὴν ἐν τῇ συναφείᾳ αὐτῆς, τὸ μέσον, λέγομεν τοῦτο, ὃ παρέχει ἡ περὶ ᾀσμάτων θεωρία, ἐνταῦθα δὲν εἶναι προσιτόν· ἐπειδὴ κατὰ τὸν Βέργκ τὸ περὶ ὁ λόγος τεμάχιον ἐξ ἀρχῆς ἐξεταζόμενον συνετάχθη ὑπὲρ τῆς συναφείας τῆς Ἰλιάδος. Ἐντεῦθεν ἐξ ἀνάγκης ἀγόμεθα εἰς τὸ ἑξῆς ἀντίθετον συμπέρασμα «ἐπειδὴ ὁ ποιητὴς, ᾧ χρεωστοῦμεν τὸν ἀποχωρισμὸν τοῦ Ἕκτορος, δεικνύει ἀριδήλως τὴν λεπτοτάτην αἴσθησιν διὰ τὸ ποιητικῶς σύμμετρον καὶ εὐπρεπὲς, διὰ ταῦτα ἡ ὑπ' αὐτοῦ κατὰ τὸ δοκοῦν τροποποίησις τῆς σκηνῆς δυνατὸν καὶ ποιητικῶς νὰ δικαιολογηθῇ.» Καὶ πράγματι ὁ ἀναγνώστης εὐκόλως δύναται νὰ πεισθῇ, ὅτι τὸ συζητούμενον τμῆμα, ὡς εἶναι ἀπαραίτητον διὰ τὴν Ἰλιάδα, οὐδαμόθι ἠδύνατο νὰ ἐγκαταλεχθῇ πρεπωδέστερον, ἢ ἐνταῦθα, ὅπου ἄρχεται τὸ λαμπρὸν μὲν, ἀλλὰ βραχὺ στάδιον τοῦ Ἕκτορος.

Ἔτι δ' ἀπιθανώτερον τῆς δραστικότητος τῶν μετὰ ταῦτα ποιητῶν, ἥτις προϋποτίθεται πολὺ εὐρυνομένη, εἶναι τὸ καταστρεπτικὸν ἔργον τῶν διασκευαστῶν. Ἡ ἀφαίρεσις μακρῶν τεμα-

χίων γνησίας Ὁμηρικῆς ποιήσεως δὲν συνάδει τῷ ὑψίστῳ σεβασμῷ, οὗ ὁμολογουμένως ἀπήλαυσεν ἡ ὁμηρικὴ ποίησις παρά τε τοῖς συγχρόνοις καὶ τῆς μεταγενεστέροις. Ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια, ὡς καὶ ὁ Βὲργκ αὐτὸς διὰ μακρῶν ἀποφαίνεται, ἐκρίνοντο ὡς ἡγιασμένον ἔδαφος, ἐφ' οὗ ἄλλοι ποιηταὶ οὐδαμῶς ἐτόλμων νὰ πατήσωσιν. Οὐδέποτε οἱ μετέπειτα ποιηταὶ ἐξελέξαντο νὰ ἐπεξεργασθῶσιν ὑπόθεσιν, ἣν ὁ Ὅμηρος αὐτὸς ἐπραγματεύθη. Καὶ ὅμως πῶς θ' ἀπετόλμων κολόβωσιν καὶ παραμόρφωσιν τῶν μουσικωτάτων ἐκείνων ποιητικῶν ἔργων; Καὶ ἂν πράγματι εἷς τις εἶχε πρόχειρον τὴν πρὸς τοῦτο ἀναγκαίαν ἀδιαφορίαν, πῶς ἦτο δυνατὸν οὕτω πράττων νὰ εὐδοκιμήσῃ παρὰ τῷ ἔθνει καὶ ἀποσκυβαλίσῃ τὸ γραπτῶς σωζόμενον ἀρχέτυπον ἔργον τοῦ Ὁμήρου;

Τῇ δὲ προϋποθέσει, καθ' ἣν τὰ ὁμηρικὰ ποιήματα ἀμέσως ἐξ ἀρχῆς συνετέθησαν γραπτῶς, ἢ τοὐλάχιστον πολὺ ἐνωρὶς ἀνεγράφησαν, ἀντιφωνεῖ τελέως ἡ παραδοχὴ βαθέως ἀπτομένης μετασχηματίσεως τῶν ποιημάτων τούτων, ὡς θὰ διευκρινισθῇ καὶ ἄνευ εἰδικωτέρας ἀποδείξεως. Πλὴν ἡ προϋπόθεσις ἐκείνη παρέχει εὐκταῖον μέσον πρὸς ἀπομάκρυνσιν οὐ μικροῦ ἀριθμοῦ τόσον ὑποδεεστέρων, ὅσον ἀξιολογωτέρων ἀνισοτήτων. Ἡ προσοχὴ εἰς φειδωλίαν χώρου ἔμελλεν ἀναγκαίως καὶ τοῦτο νὰ φέρῃ, ἤγουν αὐτολεξεί, ἢ σχεδὸν αὐτολεξεὶ ἐπαναλαμβονόμενα χωρία δεύτερον ἁπαντῶντα νὰ μὴ ἐξαλείφωνται, ἀλλ' ἡ ὕπαρξις αὐτῶν νὰ ὑποσημαίνηται διά τινος σημείου, ὃ τοῦ λοιποῦ θὰ παρεῖχεν ἀφορμὴν εἴς τινας πλάνας. Ἐπίστευον, ὅτι ἔπρεπε ν' ἀναπληρώσωσιν, ὅπου οὐδὲν ἦν ἀναπληρωτέον, ὡς ἐν παραδείγματι, αἱ στερεότυποι περιγραφαὶ τῶν εὐωχιῶν καὶ τῶν θυσιῶν ἐπεισαγόμεναι ἑκάστοτε ἄφθονοι. Καὶ ὁ γνωστὸς τρόπος τῶν διασκευαστῶν τοῦ ἀρύεσθαι τὰς προσθήκας αὐτῶν ἐκ τοῦ Ὁμήρου ἧττον ἐστὶν ἀποδοτέος τῇ πνευματικῇ ἀδυναμίᾳ τῶν ἀνθρώπων τούτων· διότι τὸ κατασκευάσαι ἐν τῇ μητρικῇ γλώσσῃ ἀνεκτούς τινας στίχους δὲν εἶναι δυσχερὲς, ἀλλὰ πολὺ μᾶλλον τὸ παραγαγεῖν ἐκ τῆς κατὰ τὰς ἐπιτομὰς τηρουμένης χρήσεως. Τοῦτο βλέπει ὁ ἀναγνώστης λίαν σαφῶς *ἐπὶ τῆς βουλῆς τῶν γερόντων*, ἥτις κατὰ τὴν ἐκδοχὴν τοῦ Βὲργκ ἀντὶ μακροτέρας καὶ καλλίονος ἀφηγήσεως τοῦ

πολεμικοῦ συμβουλίου. Ἡ τῶν ἡγεμόνων βουλή, λέγει ὁ συγγραφεύς, ἐγχωρεῖ ἕνεκα τῆς ποιητικῆς συνθέσεως. Διότι οἱ ἡγεμόνες, ἂν μὴ προεγίνωσκον τὴν πρόθεσιν τοῦ Ἀγαμέμνονος, δὲν θὰ ἠδύναντο νὰ ἐννοήσωσι τὴν κυρίαν ἔννοιαν τοῦ λόγου του ἐνώπιον τοῦ λαοῦ.

Εἶναι ὅμως σωστὰ σωστὰ ὁ κύριος λόγος ὁ δυνάμενος νὰ ἰσχύῃ διὰ τὸν ἐκ τοῦ ποιήματος ἐξοβελισμὸν *τῆς βουλῆς τῶν γερόντων*, διότι ὁ τρόπος τῶν ἡγεμόνων ἐξαγγέλλει ἐντελῆ ἄγνοιαν τοῦ ἀληθινοῦ σκοποῦ τοῦ Ἀγαμέμνονος, λόγος ἐξ ἴσου ἰσχύων πρὸς τὸ ὑπὸ τοῦ Βέργκ προστιθέμενον τεμάχιον. Προδήλως ἐν τῇ ἀρχαιότητι, λέγει ὁ ἐπικριτὴς τῆς συγγραφῆς τοῦ Βέργκ, ῥαψῳδός τις, ὑπέλαβε τὴν βουλὴν τῶν ἡγεμόνων ἀναγκαίαν καὶ τὴν φαινομένην ἔλλειψιν ἐπλήρωσε κατὰ τὸ δοκοῦν αὐτῷ, τ. ἔ. διὰ τῆς κατὰ λέξιν ἐπαναλήψεως ἡγουμένου τεμαχίου, ᾧ αὐτὸς ἐξ ἀνάγκης προσέθηκεν ἔτι ὀλίγους στίχους ὑφ' ἑαυτοῦ συντεθέντας. Ὡσαύτως δ'ὅς τις εἶχεν ἀφορμὴν νὰ παραδέχηται ἐλλείψεις, ὅπου τοιαῦται δὲν ὑπῆρχον, οὕτως ἀφήρει ἐπ' εὐκαιρίᾳ καὶ τὴν συμπλήρωσιν πραγματικῶς ὑπαρχόντων ἐλλειμάτων ἐκ τοῦ μὴ ὀρθοῦ χωρίου. Παραδείγματα τούτου παρέχει ἀμέσως ἡ πρώτη ῥαψῳδία τῆς Ὀδυσσείας. Ὁ Κιρχὸφ, οὗ τὴν πρὸς τοῦτο γνώμην ἀποδέχεται ὁ Βέργκ, σαφῶς ἀπέδειξεν, ὅτι ἡ τῆς Ἀθηνᾶς πρὸς τὸν Τηλέμαχον πρόσκλησις (ς. 272—304) ἀδεξίως ἐλήφθη ἐκ τῆς δευτέρας ῥαψῳδίας. Ὅσῳ ὀλίγον καὶ ἂν ἀποβαίνει δυνατὴ ἀντίρρησίς τις κατὰ τῆς ὀρθότητος τῆς ἀποδείξεώς του, οὐδὲν ἧττον ἡ ἀποβολὴ ἁπάσης τῆς ῥαψῳδίας οὐδένα λόγον ἔχει. Πιθανώτατα λέγουσιν οἱ ἐπικριταὶ τοῦ συγγράμματος τοῦ Βέργκ ἀντὶ τῶν προσκρουόντων στίχων οὐδὲν ἄλλο πρότερον ὑπῆρχεν ἢ ὅ,τι ἡ Ἀθηνᾶ ἀπὸ ς. 90—95 ὑποσημαίνει ὡς ἰδίαν ἐντολὴν πρὸς τὸν Τηλέμαχον καὶ μόνον ὡς ἐκ τῆς ἀλλαγῆς τοῦ προσώπου μεταβάλλονται ἀναγκαίως τὰ λεγόμενα αὐτά. Ἡ δὲ δευτέρα ἡμαρτημένη ἀναπλήρωσις ἐν τῇ αὐτῇ ῥαψῳδίᾳ ἁπαντᾷ ἀπὸ ς. 374—380.

Καὶ αὗται μέν εἰσιν αἱ τῶν πλειόνων κατὰ τὴν Γερμανίαν φιλολόγων γνῶμαι περὶ τοῦ συγγράμματος τοῦ Βέργκ, νῦν δὲ ἂς ἐξετάσωμεν κεφάλαιά τινα τῆς συγγραφῆς, τὸ περὶ Ὁμήρου ὡς

*ἱστορικοῦ προσώπου, τὸ περὶ πατρίδος καὶ τῆς ἐποχῆς*, καθ' ἣν ἤκμασεν. Ὑπὸ τὴν ἐπιγραφὴν λοιπὸν ὁ Ὅμηρος *ὡς ἱστορικὸν πρόσωπον* ἀποφαίνεται ὁ συγγραφεὺς, ὅτι τὰ μὲν ὁμηρικὰ ποιήματα, ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια, εἰσὶ τ' ἀρχαιότατα καὶ τὰ κράτιστα προϊόντα τῆς Ἑλληνικῆς φιλολογίας, τὸ δὲ πρόσωπον τοῦ ποιητοῦ κρύπτεται ὄπισθεν τοῦ ὑποκειμένου τῆς ποιήσεως αὐτοῦ οὕτως, ὥστε ἐξ αὐτῆς ὁ ἀναγνώστης οὐδὲν δύναται νὰ ἀρυσθῇ περὶ τοῦ συγγραφέως. Καὶ συνέπλασαν μὲν οἱ Ἕλληνες ἐν μεταγενεστέροις καιροῖς ἐκ πάντων τῶν μύθων καὶ τῶν παραδόσεων βιογραφίαν τοῦ Ὁμήρου, πλὴν ἀλλ' ὅμως πάσης ἀξιοπιστίας γυμνήν. Ὅθεν ὁ δημιουργὸς τῶν ἀνεφίκτων ἐκείνων ποιητικῶν ἔργων κεῖται ὅλος ἐν τῷ σκότει. Τὸ μεγαλεῖον ὅμως τῶν ἔργων αὐτῶν, τῶν ὅλως αἴφνης ἐκ τῆς πολιωτάτης ἀρχαιότητος δίκην ἡλίου ἀνατελλόντων, ἀπαιτεῖ ἵνα ἐνατενίζωμεν εἰς ὡρισμένον πρόσωπον· διότι αἱ ποιήσεις αὗται οὔτ' ἀπαρχαὶ, οὔτ' ἀπέριττος δημοτικὴ ᾠδή εἰσιν, ἀλλὰ ποιητικὸν προϊὸν δημιουργηθὲν διὰ πάσης ἐντέχνου τελειότητος καὶ ἑπομένως μετὰ συναισθήσεως. Καὶ τὰ μὲν δημοτικὰ ᾄσματα στεροῦνται ὡρισμένου ὀνόματος ποιητοῦ· ἡ δ' ἔντεχνος ποίησις προσαρτᾶται ἑκάστοτε εἰς ἕνα τοιοῦτον, ἐπειδὴ τὸ μόνον πρόσωπον εἶναι ἡ δημιουργικὴ τάσις ἐκείνης· δι' ὃ τὸ ὄνομα τοῦ Ὁμήρου εἶναι καὶ ὀφείλει νὰ ἦναι ἱστορικόν. Καὶ τοῦτο εἶναι συνάμα τὸ πρῶτον ἀσφαλὲς μεμαρτυρημένον ὄνομα τοῦ ποιητοῦ. Καὶ ἀπέδωκαν μὲν αὐτῷ πολλὰ πλαστῶς, ὅμως διαστέλλεται ἀκριβῶς ἐκ τῶν παλαιοτέρων μυθικῶν προσώπων, οἷον Ὀρφέως, Λίνου, Εὐμόλπου καὶ Μουσαίου. Παρὰ τούτοις μὲν πρωταγωνιστεῖ τὸ στοιχεῖον τῶν δαιμόνων ἅμα καὶ τῶν ἡρώων, ἐν ᾧ ὁ Ὅμηρος ἀπαύστως ἐπιφαίνεται ἐν ταῖς ποιήσεσιν ὡς ἄνθρωπος. Τὸ δ' ὅτι οὐδὲν ἀξιόπιστον περὶ αὐτοῦ γινώσκομεν, τοῦτο ἐπιμαρτυρεῖ τὸν οὐχὶ μυθικὸν αὐτοῦ χαρακτῆρα. Πρὸς τούτοις πᾶσαι αἱ ἀπόπειραι τοῦ παραγαγεῖν καὶ ἐκ τῆς λέξεως Ὁμήρου ἀπόδειξιν κατὰ τοῦ ἑνὸς προσώπου ἀπέτυχον, ἅτε τοῦ ὀνόματος σημαίνοντος *ἐνέχυρον*, ἤτοι σημασίαν ὅλως ξένην τῆς ποιητικῆς προσωπικότητος. Ἐντεῦθεν δῆλον, ὅτι τὸ ὄνομα οὔτε ἐπενοήθη, οὔτε κατεσκευάσθη πρὸς ὡρισμένον σκοπόν.

Εἶτα ὁ συγγραφεὺς πραγματεύεται τὸ *περὶ πατρίδος* τοῦ ποιητοῦ ζήτημα, ὃ διαφέρει καὶ αὐτοῖς τοῖς ἀπαρνουμένοις τὴν προσωπικότητα τοῦ Ὁμήρου, ἅ τε τῆς πατρίδος τοῦ ποιητοῦ συνωνύμου οὔσης τῇ τῶν ποιημάτων καταγωγῇ. Ἑπτὰ ὡς γνωστὸν πόλεις μνημονεύονται ἐν τῇ ἀρχαιότητι ἐρίζουσαι περὶ πατρίδος Ὁμήρου, ἡ Σμύρνη, ἡ Χίος, Κολοφών, Ἰθάκη (ἢ Κύμη), Πύλος, Ἄργος καὶ Ἀθῆναι· διότι αὗται ἔσχον τὴν ἀρχὴν τὸ πρῶτον διὰ παντοίων συνδυασμῶν, ἐξ αὐτῶν τῶν ὁμηρικῶν ποιημάτων παραγομένων. Καὶ ἡ μὲν Ἰλιὰς ἀναφέρεται ὅλως ὡρισμένως εἰς τὴν παραλίαν τῆς μικρᾶς Ἀσίας, ἧττον δ' ὁριστικῶς ἡ Ὀδύσσεια. Ἐν αὐτῇ περιλαμβάνονται ἀναφοραί τινες ἐπὶ τῆς καταστάσεως τῆς εὐρωπαϊκῆς Ἑλλάδος, πλὴν αὗταί εἰσι προσθῆκαι πλασθεῖσαι ὑπὸ τῶν ῥαψῳδῶν ἐπ' εὐκαιρίᾳ τῆς κατὰ τοὺς τόπους τούτους ἀπαγγελίας τῶν ποιημάτων. Τοὐναντίον ἡ περιγραφὴ τῆς ἡδυπαθείας παρὰ τοὺς Φαίαξι καὶ τῆς ἀκολασίας τῶν Ἰθακησίων μνηστήρων ἐνδεικνύουσι τὴν μικρὰν Ἀσίαν, ἥτις δέον νὰ κρίνηται πατρὶς ἀμφοτέρων τῶν ποιήσεων. Ἐκ δὲ τῶν ἀξιώσεων τῶν ἐν τῇ Μικρᾷ Ἀσίᾳ πόλεων μᾶλλον δεδικαιολογημέναι εἰσὶν αἱ τῆς Σμύρνης, καὶ δὴ κατὰ ταύτας ὁ ποιητὴς ὡρμᾶτο ἐξ Αἰολίδος. Ἀλλ' ἐπειδὴ ἐν τοῖς ὁμηρικοῖς ποιήμασιν ὑπερισχύει ὁ Ἰωνικὸς χαρακτὴρ, καὶ ἑπομένῳ τῷ λόγῳ ἡ γένεσις τῶν ὁμηρικῶν ποιημάτων τίθεται περὶ τὴν Ἰωνίαν, συνάγεται, ὅτι ὁ Ὅμηρος καταλιπὼν τὴν πατρίδα αὐτοῦ κατῴκησεν ἐν ἰωνικαῖς πόλεσιν, ὧν ἔρχεται πρώτη ἡ Χίος, ὅπου ἤκμασεν ἀρχαῖον γένος ῥαψῳδῶν. Ὁ δὲ σύνδεσμος οὗτος τῶν Αἰολικῶν καὶ Ἰωνικῶν στοιχείων διασώζει ἐν τούτοις τὰς ἑαυτοῦ ἀξιώσεις καὶ ὡς πρὸς τὴν γλῶσσαν. Καὶ εἶναι πολὺ σπουδαῖον, ὅτι τὸ αἰολικὸν φῦλον, κατ' ἐξοχὴν δ' ἡ Θεσσαλία ὑπῆρξεν ἡ κυρία κοιτὶς τῆς ποιήσεως, καὶ αὐτόθεν μετενεχθεῖσα, οὕτως εἰπεῖν, ἡ τῆς ποιήσεως ἐμβολὰς ἐπὶ τὴν δραστικωτέραν καὶ μᾶλλον ἀνεπυγμένην Ἰωνικὴν φυλὴν ἑτερατούργησεν, ἅ τε προϊὸν ἀμφοτέρων τῶν φύλων. Ἡ δὲ συναμφότερος δραστικότης γινώσκεται καὶ ἐκ τῆς συνεπιδράσεως διαφόρων φυλετικῶν μύθων ἔν τε τῇ Ἰλιάδι καὶ ἐν τῇ Ὀδυσσείᾳ. Εἰς τὸν ἀχαϊκο-αιολικὸν μυθικὸν κύκλον τῆς Τροίας ἐπεισάγεται

ὡς ξένος ὁ Νέστωρ καὶ ὁ τῆς Πύλου μῦθος, ὡσαύτως καὶ Γλαῦκος καὶ ὁ Σαρπηδών. Μάλιστα τῷ τοῦ Γλαύκου μύθῳ συγκαταμίγνυνται ἱστορικὰ κεφάλαια τοῦ μύθου, καὶ ἰδίᾳ ἐκ τῆς ἱστορίας τῶν Λυκίων καὶ Ἰώνων, διότι κατὰ τὸν Ἡρόδοτον καὶ ἐν τοῖς μετέπειτα χρόνοις ἦρχον τῶν καθ' ἑκάστην Ἰωνικῶν πολιτειῶν ἀπόγονοι τοῦ Γλαύκου. Παραπλήσιοι παρατηρήσεις δυνατὸν νὰ γείνωσι καὶ ἐν τῇ Ὀδυσσείᾳ.

Καὶ ἡ ἐποχὴ (1), καθ' ἣν ὁ Ὅμηρος ἤκμασεν, ἀδύνατον νὰ προσδιορισθῇ ἀκριβῶς· διότι ἅπασαι αἱ τῶν ἀρχαίων περὶ τούτου εἰδήσεις εἰσὶν εἰκασίαι, οὐδεμίαν ἀξίαν ἔχουσαι. Ἐπειδὴ δὲ τὰ Ὁμηρικὰ ποιήματα εἰσὶν ἰωνικά, δὲν εἶναι δυνατὸν νὰ ἦναι πρε-

---

(1) Ἐξ ἴσου δυσπροσδιόριστος, λέγει ὁ συγγραφεὺς ἐν σ. 463 κ. ἑ., ἐστὶν ὁ αἰὼν τοῦ Ὁμήρου, τὸ πότε δηλ. ἐγεννήθη καὶ ἐτελεύτησεν ὁ ποιητής. Τὸ ζήτημα τοῦτο συνδέεται τῷ ἄλλῳ σχετικῷ ἐπ' ἴσης ζητήματι, περὶ τοῦ πότε ἄρχεται ἡ νέα ἐκείνη διάπλασις τῆς ἐπικῆς ποιήσεως καὶ πότε ἐφίκετο τοῦ κολοφῶνος αὐτῆς, ὃν δὴ παριστάνουσι τὰ ὁμηρικὰ ποιήματα. Ἑπομένως τὸ παρὸν ζήτημα ἀποβαίνει ἐξ ἴσου σπουδαῖον καὶ διὰ τοὺς ἀπαρνουμένους τὴν προσωπικότητα τοῦ Ὁμήρου. Καὶ περὶ μὲν τῆς πατρίδος τοῦ ποιητοῦ ὑπῆρχον παραδόσεις τοῦ λαοῦ, αἵτινες, καί τοι ἀλλήλων διαφέρουσαι ἐν τέλει ἀναφέρονται πρὸς τὴν Σμύρνην· περὶ τῆς ἐποχῆς ὅμως τούτου οὐδεμία παλαιὰ παράδοσις ὑπάρχει, διότι ὁ λαὸς εἶναι ἀδιάφορος πρὸς τὴν χρονολογίαν, καὶ πρῶτον ἐν τοῖς μετέπειτα χρόνοις ἐγένετο ἀπόπειρα τοῦ πληρῶσαι τὸ ἐπαισθητὸν τοῦτο ἔλλειμμα. Αἱ δὲ τῶν παλαιῶν περὶ τούτου μαρτυρίαι εἰσὶν ἀνεξαιρέτως εἰκοτολογίαι, καί τινες μὲν αὐτῶν προσπελάζουσαι, ἔνιαι δὲ διαφέρουσαι, καὶ ἄλλαι πάλιν ἀποκλείουσαι ἀλλήλας... Ἄξιον σημειώσεώς ἐστιν, ὅτι οὐδ' αὐτοὶ οἱ τὰ μάλιστα ὀνομαστοὶ ἐρευνηταὶ τῆς Ἀλεξανδρινῆς περιόδου συνεφώνουν ἀλλήλοις, διότι ὁ μὲν Κράτης τίθησι τὸν Ὅμηρον περὶ τὸ 1105, ἤτοι 80 ἔτη μετὰ τὸν Τρωϊκὸν πόλεμον, ὁ δὲ Ἐρατοσθένης ἀκριβῶς 100 ἔτη μετὰ τὴν πτῶσιν τῆς Τροίας (ἔτει 1083), ἦγουν πρὸ τῆς Ἰωνικῆς ἐποικήσεως· ὁ Ἀρίσταρχος περὶ τοὺς χρόνους τῆς ἱδρύσεως τῶν ἀποικιῶν (ἔτ. 1043), ἐν ᾧ ὁ Ἀπολλόδωρος τὴν γέννησιν, οὐχὶ δὲ τὴν ἀκμὴν τοῦ ποιητοῦ, τίθησιν 100 ἔτη ὕστερον (ἔτ. 943)... Ἐν δὲ σ. 473 ὁ συγγραφεὺς ἀποδέχεται τὴν ἀρχὴν τῶν Ὀλυμπιάδων ὡς τὴν ἀσφαλεστέραν χρονολογίαν, καθ' ἣν θετέα ἡ τοῦ Ὁμήρου ἀκμή, διότι ἐν τῇ ἐποχῇ ταύτῃ καθίσταται δυνατὴ ἡ ὑποτύπωσις εἰκόνος τῆς ἀναπτύξεως τῆς ἐπικῆς ποιήσεως.

σδυγενέστερα τῶν κατὰ τὴν Μικρὰν Ἀσίαν Ἰωνικῶν ἀποικιῶν, ἤγουν τοῦ ἔτους 1043 π. Χ. Ὁ τύπος ὅμως τῆς ὁμηρικῆς ποιήσεως προϋποτίθησιν ἀνωτέραν ἀνάπτυξιν τῆς τέχνης, ὅλως ἀπηλλαγμένην τοῦ ἀκάμπτου καὶ κατὰ συνθήκην οὕτως εἰπεῖν παλαιοῦ ὕφους. Παραλληλισμὸς τοῦ τρωϊκοῦ Ἕκτορος πρὸς τὸν ὁμώνυμον ἱστορικὸν βασιλέα τῆς Χίου καθιστᾷ δυνατὴν τὴν διαφορὰν τοῦ δευτέρου τούτου εἰς τὴν Ἰλιάδα, τελευτήσαντος περὶ τὸ 943 π. Χ. Ἀνωτέρω δὲ τοῦ μέσου τῆς δεκάτης ἑκατονταετηρίδος δὲν εἶναι δυνατὸν νὰ μετατοπισθῇ ἡ Ἰλιὰς ἕνεκα τῆς πρὸς τοὺς Κυκλικοὺς συναφείας αὐτῆς. Ἀλλὰ καὶ νεώτερος τῆς δεκάτης ἑκατονταετηρίδος δὲν φαίνεται ὁ Ὅμηρος ὤν· ἐπειδὴ ἐν ἀρχῇ τῆς Θ′. ἑκατονταετηρίδος τὸ δελφικὸν μαντεῖον ἀπεκρίθη εἰς ἰωνικὴν διάλεκτον, ἣ διασαφοῖ μόνον ἡ βιαία ἐπίδρασις τῶν ὁμηρικῶν ποιημάτων. Τεκμαίρεται λοιπὸν ὁ Βέργκ, ὅτι ἡ μὲν Ἰλιὰς συνετέθη ἀμέσως μετὰ τὸ μέσον τοῦ Ι′., ἡ δὲ Ὀδύσσεια ἐν ἀρχῇ τοῦ Θ′. αἰῶνος, ἅτε αὐτὴ ὁμολογουμένως ἐνδεικνυμένη ὡς τὸ νεώτερον ἔργον τοῦ ποιητοῦ. Καὶ τὴν μὲν Ἰλιάδα ἀναφέρει εἰς τὸν Ὅμηρον αὐτὸν, τὴν δ' Ὀδύσσειαν εἰς ἀπόγονον, ἢ μαθητὴν ἴσῃ εὐφυΐᾳ πεπροικισμένον, εἰκοτολογῶν τοῦτον ὡς ἕνα τῶν ἐν Χίῳ Ὁμηριδῶν.

Τὸ δὲ τῆς προσωπικότητος τοῦ ποιητοῦ κατακλύζουσι μυθικαὶ παραδόσεις, ἀναφερόμεναι ἔνθεν μὲν εἰς τὸν πατέρα ἐκείνου Μέλητα (1), ἔνθεν δ' εἰς τὴν τυφλότητα καὶ εἰς τὸν θάνατον καὶ τὸν τάφον αὐτοῦ ἐπὶ τῆς Ἴου. Ἐκ τῆς αὐτῆς νήσου φαίνεται ὁρμωμένη καὶ ἡ τοῦ Ὁμήρου μήτηρ, ἡ κρύφα τῶν πατρῴων οἴκων ἐν τῇ κυοφορίᾳ ἐκλιποῦσα καὶ ἐν Λυδίᾳ παρὰ τὸν Μέλητα ποταμὸν υἱὸν τεκοῦσα. Τοσαῦτα περὶ τῆς προσωπικότητος τοῦ Ὁμήρου. Περὶ δὲ τυχῶν καὶ τῶν ἀνέκαθεν συστατικῶν στοιχείων τῶν ὁμηρικῶν ποιημάτων φρονεῖ ὁ Βέργκ, ὅτι σὺν τῷ προϊόντι χρόνῳ

(1) Δι' ὃ προσωνυμεῖται ὁ Ὅμηρος Μελησιγενὴς, ὃ πιθανῶς ἀνάγεται εἰς τὴν παλαιὰν ποίησιν τῶν ῥαψῳδῶν. Αὐτόθεν δὴ ἔσχε τὴν ἀρχὴν καὶ ἡ ἐπωνυμία τοῦ ποιητοῦ Μαιόνιος ἢ Μαιονίδης, ἡ τὴν Σμύρνην καὶ Λυδίαν ὑπαινισσομένη, καίπερ τοῦ ἐπιθέτου τούτου παρὰ τοῖς ἐπιγενεστέροις παραληφθέντος ὡς γενεαλογικοῦ.

ὑπέστησαν παντοίας προσθήκας καὶ ἀλλοιώσεις μὴ περισωθέντα ἐν τῇ ἀρχικῇ αὐτῶν μορφῇ, πλὴν κατ' οὐσίαν κρίνει τὰς ὁμηρικὰς ποιήσεις ὡς ἑνότητα ἐχούσας.

Τὸ ὅτι δὲ ἡ ἀπόπειρα τοῦ Βέργκ τοῦ ἀγαγεῖν τὸ ὁμηρικὸν ζήτημα εἰς τὴν ὁριστικὴν αὐτοῦ λύσιν δὲν ἐπέτυχε πλέον τῶν πρὸ αὐτοῦ, αἰτία τούτου εἶναι, ὅτι καὶ ἐνταῦθα ἡ ἔννοια τῆς ἑνότητος ἐλήφθη πολὺ αὐστηρότερον, ἢ ὅσον ἡ παλαιοτάτη ἐκείνη ποίησις ἐπέτρεπεν. Εἰς τὴν πλάνην ταύτην ἐξετέθησαν ὡς εἰκὸς καὶ αὐτοὶ οἱ μάλιστα περὶ Ὁμήρου ἐπαΐοντες· διότι ὅσῳ τις ἐξ ἀκριβοῦς μελέτης πείθεται περὶ τῆς ἀπαραμίλλου τελειότητος τῆς ὁμηρικῆς ποιήσεως, τοσούτῳ μᾶλλον θ' ἀρέσκηται νὰ προϋποθέσῃ συνεπῶς τὴν αὐτὴν τελειότητα καὶ ὡς πρὸς τὴν σύνθεσιν. Καί τοι τοῦτο προὐκάλεσε θεωρίας, ἃς δὲν δύναται νὰ ἐγκολπωθῇ ὁ περὶ τὸν Ὅμηρον ἀσχολούμενος, ἄτ' ἀναιρούσας ἀλλήλας, οὐδὲν ἧττον ἕνεκα τῶν ἐργασιῶν τῶν διαπρεπεστάτων κριτικῶν ἰσχυρῶς προὐβιβάσθη ἡ βαθυτέρα κατανόησις τῆς ὁμηρικῆς ποιήσεως. Ἐκ τῆς ἀπόψεως ταύτης δέον νὰ κρίνηται καὶ τὸ ἔργον τοῦ Βέργκ, ὃ ἀνομολογουμένως ἐστὶν ὁ καρπὸς μακρᾶς καὶ ἀσπασίου περὶ τὸν ποιητὴν μελέτης, ἐξαιρομένης ἕνεκα τῆς ἀμφιλαφοῦς πολυμαθείας, ὡς δὴ τοσοῦτον κατάδηλον γίνεται τοῦτο ἐν τοῖς περὶ τῆς ἑλληνικῆς ποιήσεως, περὶ τοῦ χαρακτηρισμοῦ τοῦ Ὁμήρου, πρὸς τούτοις δὲ καὶ ἐν τοῖς περὶ τῆς ἀναλύσεως τῆς τε Ἰλιάδος καὶ Ὀδυσσείας τμήμασιν, ὥσθ' αἱ παρατηρούμεναι ἀδυναμίαι τοῦ προκειμένου συγγράμματος ἐπανορθοῦνται ἑκατονταπλασιόνως διὰ τῶν ἐν αὐτῷ τούτῳ ἀπαστραπτουσῶν ἀρετῶν.

Ἐν Ἀθήναις, κατὰ Ἰούλιον τελευτῶντα, 1874.

Ν. ΠΕΤΡΗΣ.

## *Θεωρητικὴ ἐφαρμογὴ τοῦ πειράματος τοῦ Huyghens.*

### I.

Ἐν πρώτοις ἀνακαλοῦμεν διὰ βραχέων εἰς τὴν μνήμην τοῦ ἀναγνώστου τὸ πείραμα τοῦ Huyghens.

Δεσμὶς φωτὸς ἡ Ια συνάγεται ὑπὸ τοῦ φακοῦ L ἐπὶ τοῦ κρυστάλλου Ἰσλανδίας S, ἐξ οὗ ἐξέρχεται διηρημένη εἰς δύω ἀκτῖνας, τὴν συνήθη ἢ *κοινὴν* O καὶ τὴν ἀσυνήθη ἢ *ἔκτακτον* E. σχ. 1.

Τὰς ἐξερχομένας ταύτας δύω ἀκτῖνας δεχόμεθα ἐπὶ δευτέρου κρυστάλλου Ἰσλανδίας S′, ὅπερ στρέφομεν διὰ τῆς χειρὸς καὶ ἐπικυροῦμεν ταῦτα :




Σχ. 1.

α′. Ἐὰν αἱ πρωτεύουσαι ἢ *κύριαι* τομαὶ τῶν δύω κρυστάλλων S καὶ S′ ὦσι παράλληλοι πρὸς ἀλλήλας, βλέπομεν ἐπὶ τοῦ διαφράγματος D τὸ κοινὸν εἴδωλον o τῆς κοινῆς ἀκτῖνος O καὶ τὸ ἔκτακτον εἴδωλον e τῆς ἐκτάκτου ἀκτῖνος E.

β′. Ἐὰν αἱ κύριαι τομαὶ τοῦ S καὶ S′ ὦσι κάθετοι πρὸς ἀλλήλας, βλέπομεν τότε ἐπὶ τοῦ D τὸ κοινὸν εἴδωλον o′ τῆς ἐκτάκτου ἀκτῖνος E καὶ τὸ ἔκτακτον εἴδωλον e τῆς κοινῆς ἀκτῖνος O.

γ′. Ἐὰν αἱ κύριαι τομαὶ τοῦ S καὶ S′ σχηματίζωσι πρὸς ἀλλήλας γωνίαν $45^0$, βλέπομεν ἐπὶ τοῦ D τέσσαρα εἴδωλα ἰσοεντατικὰ τὸν φωτισμόν.

δ'. Τῶν κυρίων τομῶν τῶν S καὶ S' τεθεισῶν εἰς θέσεις ἐνδιαμέσους, δηλαδὴ ὥστε νὰ σχηματίζωσι πρὸς ἀλλήλας γωνίας διαφόρους τῶν γωνιῶν $0^0$, $90^0$, $45^0$, βλέπομεν ἐπὶ τοῦ D τέσσαρα εἴδωλα μεταβλητὰ τὸν φωτισμὸν, καὶ ἰσοεντατικὰ ἀνὰ δύω.

## II.

Γνωστὴ τοῦ πειράματος τούτου συνέπεια εἶναι ὅτι, *αἱ δύω ἀκτῖνες* O *καὶ* E, *αἱ ἐκ τοῦ κρυστάλλου* S *ἐξελθοῦσαι, εἰσὶν ἀκτῖνες πεπολωμέναι.*

Τῷ ὄντι, ἀφαιρέσωμεν τὸν κρύσταλλον S καὶ δεχθῶμεν τὴν φυσικὴν ἀκτῖνα Ια ἐπὶ τοῦ S', βλέπομεν τότε ἐπὶ τοῦ D δύω εἴδωλα, τὸ κοινὸν o καὶ τὸ ἔκτακτον e, ἰσοεντατικὰ τὸν φωτισμὸν, διατηροῦσι δὲ τὸν φωτισμὸν τοῦτον ἀμετάβλητον ὅταν στρέφωμεν τὸν κρύσταλλον S'. Ἐκ τούτου ἕπεται, ὅτι *τὸ σταθερὸν κατὰ τὴν ἔντασιν τοῦ φωτισμοῦ τῶν δύω εἰδώλων, συνιστᾷ χαρακτῆρα διακριτικὸν τοῦ φυσικοῦ φωτὸς* Ια.

Τὰ δύω ταῦτα εἴδωλα διαγράφουσιν ἕκαστον ἐν ᾧ στρέφομεν τὸν κρύσταλλον S', κύκλου περιφέρειαν, καὶ μείζων μὲν εἶναι ἡ ὑπὸ τοῦ ἐκτάκτου εἰδώλου, ἐλάσσων δὲ ἡ ὑπὸ τοῦ κοινοῦ ἐν τῷ αὐτῷ χρόνῳ διαγραφομένη.

Τὸ σχῆμα 2 δεικνύει τὰ εἴδωλα ταῦτα ἐπὶ τῶν διαφόρων σημείων τῶν περιφερειῶν, ἃς διαγράφουσιν.



Σχ. 2.

Ἐὰν ἡ κυρία τομὴ τοῦ S' ἦναι κάθετος τῷ ὁρίζοντι, τὰ δύω εἴδωλα, τὸ κοινὸν o καὶ τὸ ἔκτακτον e, κεῖνται ἐπὶ τῆς καθέτου τῷ ὁρίζοντι διαμέτρου PP, καθ' ἣν ἡ κυρία τομὴ τοῦ S' προεκβαλλομένη τέμνει τὸ διάφραγμα D.

Ἐὰν ἡ κυρία τομὴ τοῦ S' ἦναι ὁριζόντιος, τὰ δύω εἴδωλα o καὶ e εἰσὶν ἐπὶ τῆς ὁριζοντίου διαμέτρου HH.

Τέλος, ἐὰν ἡ κυρία τομὴ τοῦ S′ σχηματίζῃ γωνίαν $45^0$ μὲ τὴν κάθετον τῷ ὁρίζοντι PP καὶ ἑπομένως καὶ μὲ τὴν ὁριζόντιον HH, τὰ δύω εἴδωλα κεῖνται ἐπὶ τῆς διαμέτρου NN, ἥτις διέρχεται διὰ τῆς διαιρέσεως $45^0$. Κατὰ τὴν διάμετρον δὲ ταύτην NN τέμνεται τότε τὸ διάφραγμα D ὑπὸ τοῦ ἐπιπέδου τῆς κυρίας τομῆς τοῦ S′ προεκβαλλομένου.

Ἀναθέσωμεν ἤδη ἐν τῇ ἀρχικῇ θέσει αὐτοῦ τὸν κρύσταλλον S (σχ. 1). Ὁ κρύσταλλος οὗτος διαιρεῖ τὴν φυσικὴν ἀκτῖνα Ια εἰς δύω ἀκτῖνας O καὶ E, διακόπτοντες δὲ τὴν ἔκτακτον ἀκτῖνα E διὰ τοῦ διαφράγματος d, καὶ δεχόμενοι τὴν κοινὴν ἀκτῖνα O ἐπὶ τοῦ κρυστάλλου S′, βλέπομεν ἐπὶ τοῦ διαφράγματος D δύω εἴδωλα, τὸ κοινὸν o καὶ τὸ ἔκτακτον e, ἅτινα ἐξετάσωμεν νῦν.

Περιστρεφομένου τοῦ κρυστάλλου S′, βλέπομεν τὰ δύω εἴδωλα o καὶ e νὰ στρέφωνται μὲν ὡς εἴρηται, ἀλλὰ παρατηροῦμεν πρὸς τούτοις ὅτι, *ἕκαστον εἴδωλον ἀλλάσσει τὴν ἔντασιν τοῦ φωτισμοῦ του βαθμηδὸν μέχρι σβέσεως αὐτοῦ*· ἔπεται ὅτι ἡ ἔντασις τοῦ φωτισμοῦ δὲν εἶναι σταθερὰ ὡς ὅταν ἐδεχόμεθα ἐπὶ τοῦ S′ φυσικὴν ἀκτῖνα· ἡ ἀκτὶς λοιπὸν O, ἐπειδὴ διῆλθε διὰ τοῦ κρυστάλλου S, ἐκτήσατο ἰδιότητας νέας, ἃς ἡ φυσικὴ ἀκτὶς δὲν ἔχει· διὸ πρὸς διάκρισιν ἐκλήθη *ἀκτὶς πολώσεως*· χρώμενοι δὲ τῇ ὀνομασίᾳ ταύτῃ, δὲν προτιθέμεθα καὶ νὰ δικαιολογήσωμεν αὐτήν.

Ἡ κοινὴ ἀκτὶς O, ἣν ἐδέχθημεν ἐπὶ τοῦ κρυστάλλου S′, δίδει δύω ἀκτῖνας o καὶ e, αἵτινες λαμβάνουσιν ὡς εἴρηται ἐντάσεις φωτισμοῦ διαφόρους, ὅταν στρέφωμεν τὸν κρύσταλλον S′, τὰς ἐντάσεις δὲ ταύτας παριςάνει τὸ σχῆμα 3· βλέπομεν ἐπὶ τούτου. 1ον. Ὅταν αἱ κύριαι τομαὶ τῶν δύω κροστάλλων S καὶ S′ ὦσι παράλληλοι πρὸς ἀλλή-




Σχ. 3.

λας καὶ κάθετοι τῷ ὁρίζοντι, καὶ ἑπομένως παρατεινόμεναι τέμνουσι τὸ διάφραγμα D κατὰ τὴν κάθετον τῷ ὁρίζοντι PP, ἡ ἔκτακτος ἀκτὶς e σβέννυται καὶ ἐπὶ τοῦ διαφράγματος D βλέπομεν τὴν κοινὴν ἀκτῖνα o μόνην.

2ον. Ὅταν αἱ κύριαι τομαὶ τῶν κρυστάλλων S καὶ S′ ὦσι κάθετοι πρὸς ἀλλήλας, παρατεινόμεναι δὲ τέμνουσι τὸ διάφραγμα D, ἡ μὲν κατὰ τὴν PP, ἡ δὲ κατὰ τὴν HH, τὰ δύω εἴδωλα κεῖνται ἐπὶ τῆς ὁριζοντίου διαμέτρου HH, καὶ αἱ ἐντάσεις τοῦ φωτισμοῦ αὐτῶν ἀντηλλάχθησαν ἀμοιβαίως, δηλαδὴ ἡ κοινὴ ἀκτὶς o ἐσβέσθη, ἡ δὲ ἔκτακτος e, ἥτις ὑπῆρχεν ἐσβεσμένη, ἀνέλαβε τὴν ἔντασιν τοῦ φωτισμοῦ αὐτῆς.

3ον. Ὅταν αἱ κύριαι τομαὶ τῶν S καὶ S′ σχηματίζωσι πρὸς ἀλλήλας γωνίαν 45°, δηλαδὴ, ἡ μὲν τέμνει τὸ διάφραγμα κατὰ τὴν PP, ἡ δὲ κατὰ τὴν NN, τότε τὰ δύω εἴδωλα o καὶ e ἔχουσι τὴν αὐτὴν ἔντασιν τοῦ φωτίσμοῦ, ἐπὶ τῆς NN κείμενα.

4ον Τῶν κυρίων τομῶν τῶν κρυστάλλων S καὶ S′ σχηματιζουσῶν πρὸς ἀλλήλας γωνίας ἐνδιαμέσους, τὰς μεταξὺ 0° καὶ 45° περιεχομένας, ἢ τὰς μεταξὺ 45° καὶ 90°, τὰ δύω εἴδωλα o καὶ e εἰσὶν ἄνισα τὸν φωτισμὸν, κείμενα μεταξὺ 0° καὶ 45° ἢ μεταξὺ 45° καὶ 90°.

Βλέπομεν δὲ οὕτως ὅτι τὸ εἴδωλον o, κείμενον ἐν πρώτοις ἐπὶ τῆς PP, ὅπως φθάσῃ ἐπὶ τῆς HH, ἐν ᾗ ὑπάρχει ἐσβεσμένον, λαμβάνει πάσας τὰς ἐνδιαμέσους ἐντάσεις φωτισμοῦ. Ὡσαύτως ἔχει καὶ περὶ τοῦ εἰδώλου e, ἐν ᾧ μεταβαίνει ἐκ τοῦ P εἰς τὸ H, καθίσταται βαθμηδὸν ἐντατικώτερον τὸν φωτισμόν.

Ἐὰν ἐξακολουθήσωμεν νὰ στρέφωμεν τὸν κρύσταλλον S, τιθέμενοι τὴν κυρίαν αὐτοῦ τομὴν κατὰ τὴν NN′, τὸ φαινόμενον ἐπαναλαμβάνεται, δηλαδὴ τὸ εἴδωλον e, ὅπερ ἐπὶ τῆς HH κείμενον εἶναι ἐντατικὸν τὸν φωτισμὸν, ἐξασθενεῖ βαθμηδὸν μέχρις οὗ σβεσθῇ ἅμα φθάνον ἐπὶ τῆς PP, ἐνῷ τὸ εἴδωλον o, ὅπερ ἐπὶ τῆς HH κείμενον ὑπάρχει ἐσβεσμένον, αὐξάνει τὸν φωτισμὸν βαθμηδὸν, καὶ οὕτως ἐφεξῆς, μέχρι συμπληρώσεως τῆς ὅλης περιστροφῆς.




Σχ. 4.

Ἐὰν ἐπὶ τοῦ κρυστάλλου S′ δεχθῶμεν τὴν ἔκτακτον ἀκτῖνα E, διακόψωμεν δὲ τὴν κοινὴν O, ἔχομεν τότε, ἐν ᾧ στρέφομεν τὸν κρύσταλλον S′, φαινόμενον παραπλήσιον, οἷον δεικνύει τὸ σχῆμα 4.

Δέδεικται λοιπὸν ὑπὸ τοῦ πειράματος τοῦ **Huyghens**, ὅτι αἱ δύω ἀκτῖνες O καὶ E αἱ ἐξελθοῦσαι ἐκ τοῦ κρυστάλλου S, εἰσὶν ἀκτῖνες πολώσεως, τοῦθ' ὅπερ γνωστόν.

## III.

Συνάγομεν ἡμεῖς νέας συνεπείας ἐκ τοῦ πειράματος τοῦ **Huyghens** τὰς ἑξῆς·

Α′. *Αἱ δύω ἀκτῖνες* O *καὶ* E *αἱ ἐξελθοῦσαι ἐκ τοῦ κρυστάλλου* S, *οὐχὶ κατὰ τὸν αὐτὸν τρόπον ἐπολώθησαν.*

Τῷ ὄντι, διακόπτομεν ἐν πρώτοις τὴν ἔκτακτον ἀκτῖνα E διὰ τοῦ διαφράγματος d, δεχόμεθα δὲ τὴν κοινὴν O ἐπὶ τοῦ δευτέρου κρυστάλλου S′, οὗτινος ἡ κυρία τομὴ παράλληλος τῇ κυρίᾳ τομῇ τοῦ S· ὁ κρύσταλλος S′ ἐπέχει τόπον ἀναλυτοῦ, καὶ ἐπὶ τοῦ διαφράγματος D *ἔχομεν τὸ κοινὸν εἴδωλον* o, *τοῦ ἐκτάκτου εἰδώλου* e *σβεσθέντος*, συμφώνως πρὸς τὸ πείραμα τοῦ **Huyghens**, I. α′ καὶ σχ. 3.

Τούτου δὲ δειχθέντος, διακόπτομεν νῦν τὴν ἀκτῖνα O καὶ δεχόμεθα ἐπὶ τοῦ κρυστάλλου S′, τεθέντος ὡς εἴρηται ἀνωτέρω, τὴν ἀκτῖνα E, *βλέπομεν τότε ἐπὶ τοῦ διαφράγματος* D *τὸ ἔκτακτον εἴδωλον* e′, *τοῦ κοινοῦ εἰδώλου* o′ *σβεσθέντος*, σχ. 4. καταφανῶς δὲ τοῦτο εἶναι τὸ ἐναντίον ἐκείνου, ὅπερ εἴχομεν ἀνωτέρω, ὅτε ἐπὶ τοῦ S′ ἐδέχθημεν τὴν ἀκτῖνα O. Συνάγομεν ἐκ τούτων ὅτι *αἱ δύω ἀκτῖνες* O *καὶ* E, *ἐξελθοῦσαι ἐκ τοῦ κρυστάλλου* S, *δὲν ἐπολώθησαν κατὰ τὸν αὐτὸν τρόπον.*

Β′. *Αἱ ἀκτῖνες αἱ ἐξελθοῦσαι ἐκ κρυστάλλου διαιροῦντος*

*δίχα τὴν ἀκτῖνα ἐπολώθησαν εἰς ἐπίπεδα κάθετα πρὸς ἄλληλα.*

Τῷ ὄντι, ἀφ' οὗ διακόψωμεν τὴν ἔκτακτον ἀκτῖνα E, σχ. 1, δεχόμεθα τὴν ἀκτῖνα O ἐπὶ τοῦ κρυστάλλου S′, οὗτινος ἡ κυρία τομὴ παράλληλος τῇ κυρίᾳ τομῇ τοῦ S ἢ σχεδὸν παράλληλος· βλέπομεν τότε ἐπὶ τοῦ διαφράγματος D τὸ κοινὸν εἴδωλον o τῆς ἀκτῖνος O, ἔχον τὴν μείζονα ἔντασιν τοῦ φωτισμοῦ αὐτοῦ, τὸ δὲ ἔκτακτον εἴδωλον e σχεδὸν ἐσβεσμένον σχ. 3.

Θεωρήσωμεν νῦν τὰς δύω ταύτας ἀκτῖνας πολώσεως o καὶ e, τὰς ἐξελθούσας ἐκ τοῦ κρυστάλλου S′, αὐτὰς καθ' ἑαυτάς.

Ἐπειδὴ ἡ κοινὴ ἀκτὶς o ἔχει τὴν μείζονα ἔντασιν τοῦ φωτισμοῦ, τὸ ἐπίπεδον πολώσεως αὐτῆς εἶναι παράλληλον τῷ ἐπιπέδῳ προσπτώσεως (α).

Ἡ ἑτέρα ἀκτὶς, ἡ ἔκτακτος e, ἔχει τὴν ἐλαχίστην ἔντασιν τοῦ φωτισμοῦ, ὅθεν τὸ ἐπίπεδον πολώσεως αὐτῆς εἶναι κάθετον τῷ ἐπιπέδῳ προσπτώσεως· ἐκ τούτων ἕπεται ὅτι *τὰ δύω ἐπίπεδα πολώσεως, τὸ τῆς* o *καὶ τὸ τῆς* e, *εἰσὶ κάθετα πρὸς ἄλληλα.*

